Et ob id cùm sensio quæ præcessit, tales motus in animo nostro excitat, plerumq; nescimus sensúne an alia ratione idipsum proueniat, & nonnunquã hæsitamus si sit memoria necne. Interdum autem euenit, vt cogitãdo scrutandóq; recordemur priùs à nobis quippiam auditũ, aut visum fuisse. Quod euenit, quoties qui phãtasma aliquod ita considerabat, vt nihil præterea nisi ipsum illud in se contemplaretur, mutata sententia, vt simulachrum alterius est, speculatur. Est quando & contrà accidat: quemadmodum Antipheronti Oreitæ, cæterisque qui excessu mentis tentabantur, contigit. nam quæ imaginabãtur, tanquam facta & gesta narrabãt, & ita vt qui meminissent. Atque hoc fit, vbi quis id quod non est imago, speculatur vt imaginẽ. Porrò meditationes recolendo memoriam conseruant, incolumémque reddunt. Recolere autem nihil aliud est, quàm crebrò phãtasmata, vt imagines, non vt in se spectra sunt, respicere. Dictum est igitur quid sit memoria, quid meminisse: habitus scilicet phãtasmatis, vt imaginis eiusce rei quæ imaginationi subditur. necnon cui earum quæ sunt in nobis animæ partium tribui debeat: nempe illi, quæ sibi primariam sentiendi potestatem vendicat, quæque nobis sensum notitiámque temporis inuehit.

## CAPVT II.

*De reminiscentia, & quid à memoria differat.*

Reliquum est, vt de reminiscentia siue recordatione dicam⁹. Primùm igitur quę in aggressoriis sermonibus vera sunt, ea pro veris habeamus oportet: reminiscentiã scilicet non esse resumptionem memoriæ, neque item assumptionem. Nam cùm quis primùm discit, aut notitia rei imbuitur, neque resumit memoriam vllam (nulla enim antegressa est) neque de integro assumit. quia tum demum memoria dicitur esse, cùm iam factus corroboratúsque fuerit habitus, aut certè affectus. Vnde fit vt memoria non simul cum affectu fiat. Item cum primum affectio facta est in vltimo illo momento, affectio quidem & scientia (si tamẽ affectionem aut habitum scientiam appellare liceat) in re affecta iam inest, memoria verò haudquaquã. Nihil tamen vetat quominus quędam ex iis quæ scimus, per accidens meminisse dicamur. Quãquam meminisse per se non possumus, antequã spatium aliquod temporis interlapsum sit. siquidẽ nunc eius rei memini, quam prius audiui, aut vidi, aut aliquo sensu cognoui: & non quam nunc sensi, eius nũc memini. Præterea manifestũ est fieri vt qui nunc non reminiscitur, meminerit, si denuo sentiat, aut doceatur quod sit oblitus. at quoties quam prius tenebat scientiam, aut sensum, aut denique quoduis aliud, cuius habitum esse memoriã diximus, iam penè interlitum obsole-

A μόνευμα. καὶ διὰ τοῦτο ἐνίοτε οὐκ ἴσμεν, γινομένων ἡμῖν ἐν τῇ ψυχῇ τοιούτων κινήσεων ἀπὸ τοῦ * αἰσθάνεσθαι πρότερον, εἰ κατὰ τὸ ᾐσθῆσθαι * συμβαίνοι καὶ εἰ ἔστι μνήμη ἢ οὔ, διστάζομεν ἐνίοτε· ὅτε δὲ συμβαίνει ἐννοῆσαι καὶ ἀναμνησθῆναι, ὅτι ἠκούσαμέν τι πρότερον, ἢ εἴδομεν. τοῦτο δὲ συμβαίνει, ὅταν θεωρῶν ὡς αὐτὸ μεταβάλλῃ, καὶ θεωρῇ ὡς ἄλλου. γίνεται δὲ καὶ τοὐναντίον ἐνίοτε, οἷον συνέβη * Ἀντιφέροντι τῷ Ὠρείτῃ, καὶ ἄλλοις ἐξισταμένοις· τὰ γὰρ φαντάσματα ἔλεγον ὡς γενόμενα, καὶ ὡς μνημονεύοντες. τοῦτο δὲ γίνεται, ὅταν τις τὴν μὴ εἰκόνα ὡς εἰκόνα θεωρῇ. αἱ δὲ μελέται τὴν μνήμην σώζουσι, τῷ ἐπαναμιμνήσκειν. τοῦτο δ' ἐστὶν οὐδὲν ἕτερον, ἢ τὸ θεωρεῖν πολλάκις, ὡς εἰκόνα, καὶ μὴ ὡς καθ' αὑτό. τί μὲν οὖν ἐστι μνήμη καὶ τὸ μνημονεύειν, εἴρηται, ὅτι φαντάσματος, ὡς εἰκόνος οὗ φάντασμα, ἕξις· καὶ τίνος μορίου τῶν ἐν ἡμῖν, ὅτι τοῦ πρώτου αἰσθητικοῦ, καὶ ᾧ χρόνου αἰσθανόμεθα.

γρ. αἰσθέσθαι

γρ. συμβαίνῃ

Suprà Meteor. li. 3. c. 4.

## ΚΕΦΑΛ. β'.

*Περὶ ἀναμνήσεως.*

Περὶ δὲ τοῦ ἀναμιμνήσκεσθαι, λοιπὸν εἰπεῖν. πρῶτον μὲν οὖν ὅσα ἐν τοῖς ἐπιχειρηματικοῖς λόγοις ἐστὶν ἀληθῆ, δεῖ τιθέναι ὡς ὑπάρχοντα· οὔτε γὰρ μνήμης ἐστὶν ἀνάληψις ἡ ἀνάμνησις, οὔτε λῆψις· ὅταν γὰρ τὸ πρῶτον ἢ μάθῃ, ἢ πάθῃ, οὔτε ἀναλαμβάνει μνήμην οὐδεμίαν· οὐδεμία γὰρ προγέγονεν· οὔτ' ἐξ ἀρχῆς λαμβάνει. ὅταν δὲ γένηται * ἡ ἕξις, ἢ τὸ πάθος· τότε γὰρ μνήμη ἐστίν· ὥστε μετὰ τοῦ πάθους ἐγγινομένου, οὐκ ἐγγίνεται. ἔτι δ', ὅτε τὸ πρῶτον ἐγεγόνει ἐν τῷ ἀτόμῳ καὶ ἐσχάτῳ; τὸ μὲν πάθος ἐνυπάρχει ἤδη τῷ παθόντι, καὶ ἡ ἐπιστήμη, εἰ δεῖ καλεῖν ἐπιστήμην τὴν ἕξιν, ἢ τὸ πάθος. οὐδὲν δὲ κωλύει κατὰ συμβεβηκὸς καὶ μνημονεύειν ἔνια ὧν ἐπιστάμεθα. τὸ δὲ μνημονεύειν καθ' αὑτὸ οὐχ ὑπάρχει πρὶν χρονισθῆναι. μνημονεύει γὰρ νῦν, ὃ εἶδεν ἢ ἔπαθε πρότερον, οὐχ ὃ νῦν ἔπαθε, νῦν μνημονεύει. ἔτι δὲ φανερὸν ὅτι μνημονεύειν ἐστὶ μὴ νῦν ἀναμνησθέντα, ἀλλ' ἐξ ἀρχῆς * αἰσθανόμενον, ἢ παθόντα·

B C D E

γρ. ἡ ἕξις

γρ. αἰσθόμενον

ἀλλ' ὅταν ἀναλαμβάνῃ ἣν πρότερον εἶχεν ἐπιστήμην ἢ αἴσθησιν, ἢ οὗ ποτε ἕξιν ἐλέγομεν μνήμην, τοῦτ' ἐστι, καὶ τότε τὸ ἀναμιμνήσκεσθαί ἐστι τῶν εἰρημένων τι. * τὸ δὲ μνημονεύειν συμβαίνει, καὶ μνήμην ἀκολουθεῖ· οὐδὲ δὴ ταῦτα ἁπλῶς, ἐὰν ἔμπροσθεν ὑπάρξαντα, πάλιν ἐγγίνεται· ἀλλ' ἔστιν ὡς, ἔστι δ' ὡς οὔ· δὶς γὰρ μαθεῖν καὶ εὑρεῖν ἐνδέχεται τὸν αὐτὸν τὸ αὐτό. δεῖ οὖν διαφέρειν τὸ ἀναμιμνήσκεσθαι τούτων, καὶ ἐνούσης πλείονος ἀρχῆς, ἢ ἐξ ἧς μανθάνουσιν ἀναμιμνήσκεσθαι. συμβαίνουσι δ' αἱ ἀναμνήσεις, ἐπειδὴ πέφυκεν ἡ κίνησις ἥδε γενέσθαι μετὰ τήνδε· εἰ μὲν ἐξ ἀνάγκης, δῆλον ὡς ὅταν ἐκείνην κινηθῇ, τήνδε κινηθήσεται· εἰ δὲ μὴ ἐξ ἀνάγκης, ἀλλ' ἔθει, ὡς ἐπὶ τὸ πολὺ κινηθήσεται· συμβαίνει δ' ἐνίους ἅπαξ ἐθισθῆναι μᾶλλον, ἢ * ἄλλους πολλάκις κινουμένους. διὸ ἔνια ἰδόντες ἅπαξ μᾶλλον μνημονεύομεν, ἢ ἕτερα πολλάκις. ὅταν οὖν ἀναμιμνησκώμεθα, κινούμεθα τῶν προτέρων τινὰ κινήσεων, ἕως ἂν κινηθῶμεν, μεθ' ἣν ἐκείνη εἴωθε. διὸ καὶ τὸ ἐφεξῆς θηρεύομεν νοήσαντες ἀπὸ τοῦ νῦν, ἢ ἄλλου τινός, καὶ ἀφ' ὁμοίου, ἢ ἐναντίου, ἢ τοῦ σύνεγγυς. διὰ τοῦτο γὰρ ἡ ἀνάμνησις· αἱ γὰρ κινήσεις τούτων, τῶν μὲν αἱ αὐταί, τῶν δ' ἅμα, τῶν δὲ μέρος ἔχουσιν· ὥστε τὸ λοιπὸν μικρὸν ὃ ἐκινήθη μετ' ἐκεῖνο. ζητοῦσι μὲν οὖν οὕτω, καὶ μὴ ζητοῦντες δ' οὕτως * ἀναμιμνήσκονται, ὅταν μεθ' ἑτέραν κίνησιν ἐκείνη γίνηται. ὡς δὲ τὰ πολλά, ἑτέρων γινομένων κινήσεων οἵων εἴπομεν, ἐγένετο ἐκείνη. οὐδὲν δὲ δεῖ σκοπεῖν τὰ πόρρω, πῶς μεμνήμεθα, ἀλλὰ τὰ σύνεγγυς· δῆλον γὰρ ὡς ὁ αὐτός ἐστι * τρόπος πως· λέγω δὲ πως τὸ ἐφεξῆς, οὐ προζητήσας, οὐδ' ἀναμνησθείς· τῷ γὰρ ἔθει ἀκολουθοῦσιν αἱ κινήσεις ἀλλήλαις, ἥδε μετὰ τήνδε. καὶ ὅταν τοίνυν ἀναμιμνήσκεσθαι βούληται, τοῦτο ποιήσει· καὶ ζητήσει λαβεῖν ἀρχὴν κινήσεως, μεθ' ἣν ἐκείνη ἔσται. διὸ τάχιστα καὶ κάλλιστα γίνονται ἀπ' ἀρχῆς αἱ ἀναμνήσεις· ὡς γὰρ ἔχει τὰ πράγματα πρὸς ἄλληλα τῷ ἐφεξῆς, οὕτω καὶ αἱ κινήσεις. καὶ ἔστιν εὐμνημόνευτα, ὅσα τάξιν τινὰ ἔχει, ὥσπερ τὰ μαθήματα· τὰ δὲ, φαύλως καὶ χαλεπῶς. καὶ τούτῳ διαφέρει τὸ ἀναμιμνήσκεσθαι τοῦ πάλιν μανθάνειν, ὅτι δυνήσεταί πως δι' αὐτοῦ κινηθῆναι ἐπὶ τὸ μετὰ τὴν ἀρχήν.

γρ. τῷ δὲ μ. ε. καὶ μ. ἀκολουθεῖ.

γρ. ἐνίους.

γρ. ἀναμιμνήσκεσθαι,

γρ. τρόπος, πῶς λέγει τὸ ἐφ.

A túmque recolendo instaurat, & quasi postliminio reuersum tractat versátque: tum & hoc quoque alicuius eorum quę dicta sunt reminisci est. accidit tamen vt reminiscentiam memoria, & reminisci meminisse comitetur. Neque cõtinuò fit vt simpliciter illa, scientiã dico, sensum, & si quid est eiusmodi, si prius in animo fuerint, rursus in mentem redire & instaurari debeant: sed contrà, quandoque restituuntur animo, quandoque ab eodem perpetuò exulant. nam & vt iterum discat, & iterum inueniat idem eandem scientiam, vulgò contingere solet. Reminiscentiã igi- B tur, ab inuentione & disciplina differre oportet: & qui reminiscitur, maius principiũ intus habere, quàm qui discit aut inuenit. Fit autem reminiscentia, cùm motus animæ ita se habent, vt alter subinde post alterum fieri natus sit. nam si necessariò vnus alterum consequio trahat, palam est, simul atque ille moueri eam, hunc moturum. si verò non necessariò, sed ex consuetudine alter insequatur, maiori ex parte mouebit. Contingitque, vt quidã semel permoti magis assuescant, quàm alij sæpius. Et idcirco quorundam quæ semel C viderimus, faciliùs quàm aliorũ quæ sæpiusculè, meminisse solemus. Cùm ergo reminiscimur, quibusdã antegressis motibus mouemur, quousque eò moueamur, post quem ille sequi consueuit. Quocirca & ex hoc nũc, aut alio quodam initio seriem sequelámque venamur, & à simili, aut contrario, aut finitimo. Et ob id recordatio fieri assolet. motus enim quorumdam ex his iidem sunt, quorũdam alter alterius partem obtinẽt, connexique sunt adeò, vt reliqua pars quæ illã sequatur, exigua sit. Ad hunc igitur modũ inuestigare solemus. Sed interim nobis non ita D inquirentibus reminisci accidit, cùm recordatio motũ alterum continuò excipit, subsequitúrque. Cæterum illa ferè fit, antegressis aliis motibus quos dixi. Nec id spectandum est, quomodo quæ remota sunt, meminimus: & quomodo quæ propinqua, negligendum. quandoquidẽ vnum eundémq; modum esse, liquidò constat. dico autem, eum, quo quis ea quæ in seriem digesta sunt, nulla antecedente inquisitione recordationéve recenset. consequũtur enim sese quadã consuetudine, motus. Quoties itaque reminisci volet, id fa- E ciet: ac motus initium capere studebit, quem hic, id est, reminiscẽtia, sequitur. Quamobrem omnis reminiscentia ex principio pulcherrime ac summa celeritate corriuatur. nã quo res inter se ordine dispositæ sunt, eũ quoque motus earũdem obtinẽt. Et ea item facilè memoria cõtinentur, quæ quodam ordine constant, vt Mathematica. at quæ prauè disposita sunt, ægrè custodiuntur. Atq; hoc interest inter reminisci, & iterũ discere: quòd qui reminiscitur, ab ipso se moueri quodammodo potest, ad id quod post principium est.

at cùm per se non potest, sed alterius ceu præceptoris auxilium desiderat, non amplius meminisse videtur. Sæpe verò iam quidem reminisci non potest, quærendo tamen potest, ac inuenit. Quod homini contingere solet, dum tantisper varia mouet, quoad in motionem eam inciderit, post quam res sequatur. Est enim meminisse, mouentem quandam facultatem intus possidere: sed tamen eiusmodi, vt animus ex seipso, & motibus quos habet, moueri queat, vt dictum est: ac principium quidem sumi debet. Quocirca nonnunquam videtur ex locorum dispositione reminisci. causa autem est, quod citò ex alio in aliud veniat: vt ex lacte in candorem, ex candore in aërē, ex aëre in humorē, ex humore in autūni memoriam, cùm hanc partem anni satagit inuenire. Videtur autem vniuersaliter in omni genere, quod medium est, vicem principij obtinere. Nam si non prius, saltem cum ad id quod in meditullio est, peruenerit, res vestigata succurret, aut nunquam præterea, nec aliunde. verbi gratia, ascribantur literæ septem a b c d e f g h, per quas mentis cogitatio itura sit. Si enim non continuò vbi ventum est ad e, meminit: simul atque ad h appulerit, meminisse dicetur. nam ab e, in vtramque partem, & in d & in f discurrere potest. Quòd si ex his nullam disquirat, in c profecta meminerit, si d aut c vestiget: quemadmodum in g profecta meminerit, si g aut f perquirat. sin minus, in a: & ita ordine perpetuò. Cur autem ab eodem principio interim meminisse queat, interim non queat, causa est, quòd ex eodem principio in multas parteis ire contingat: veluti ex e in f, aut in d. Si igitur non per vetera simulachra discurrat, ad id rapi solet, quod sibi familiarius propter consuetudinem reddidit. iam enim consuetudo ipsa in quandam naturam commigrauit. Quapropter quæ frequenter cogitamus, citò reminiscimur. nam vt natura vnum alterum sequitur, ita & operatione. quinimo frequens multúsque vsus naturam fecit. Quoniam autem sicut in naturalibus errata quædam naturæ & fortuita euenire solent, adhuc magis in consuetis, quibus natura non perinde inest, peccata quædam intercidunt: hinc sanè fit vt nonnunquam animus huc illuc impellatur, præsertim cum à certo quodam initio auspicatus, quòuis alio deuius fertur. Propterea contingere solet vt cùm alicuius nominis meminisse volumus, in alterum consimile, non in illud, quasi solœcismum committentes, incidamus. Ad hunc igitur modum reminisci accidit. Sed enim notitia temporis, siue illud certum constitutúmque habeatur, siue incertum & infinitum, quàm maximè necessaria existit. Est autem aliquid, quod de pluri minorique tempore iudicamus: consentaneumque est, vt quippiam in nobis sit, quod sicut magnitudines, ita & tempus internoscat.

A ὅταν δὲ μή, ἀλλὰ δι' ἄλλου, οὐκ ἔτι
μέμνηται· πολλάκις δ' ἤδη μὲν ἀδυνα-
τεῖ ἀναμνησθῆναι· * ζητεῖν δὲ δύναται, γρ. ζητῶν
καὶ εὑρίσκει. τοῦτο δὲ γίνεται κινοῦντι πολ-
λά, ἕως ἂν τοιαύτην κινήσῃ κίνησιν, ᾗ ἀκο-
λουθήσει τὸ πρᾶγμα· τὸ γὰρ μεμνῆ-
σθαί ἐστι τὸ ἐνεῖναι δύναμιν τὴν κινοῦσαν.
τοῦτο δέ, ὥστε ἐξ αὐτοῦ, καὶ ὧν ἔχει κινή-
σεων κινηθῆναι, ὥσπερ εἴρηται. δεῖ δὲ λα-
βέσθαι ἀρχῆς. διὸ ἀπὸ τόπων δοκοῦσιν ἀνα-
B μιμνήσκεσθαι ἐνίοτε. τὸ δ' αἴτιον, ὅτι τα-
χὺ ἀπ' ἄλλου ἐπ' ἄλλο ἔρχεται· οἷον ἀπὸ
γάλακτος ἐπὶ λευκόν, ἀπὸ λευκοῦ δ'
ἐπ' ἀέρα, καὶ ἀπὸ τούτου ἐφ' ὑγρόν· ἀφ'
οὗ ἐμνήσθη μετοπώρου, ταύτην ἐπιζητῶν
τὴν ὥραν. ἔοικε δὲ τὸ καθόλου, ἀρχὴ καὶ
τὸ μέσον πάντων· εἰ γὰρ μὴ πρότερον,
ὅταν ἐπὶ τοῦτο ἔλθῃ, μνησθήσεται, ἢ οὐκ
ἔτι, οὐδ' ἄλλοθεν· οἷον εἴ τις νοήσειεν, ἐφ' ὧν,
α β γ δ ε ζ η θ. εἰ γὰρ * μὴ ἐπὶ τὸ ε μέμνηται, γρ. μὴ τὸ
C ἐπὶ τοῦ ε θ ἐμνήσθη· ἐντεῦθεν γὰρ ἐπ' ἄμφω θ ε. μέ.
κινηθῆναι ἐνδέχεται, καὶ ἐπὶ τὸ θ, καὶ ἐπὶ
τὸ ε. εἰ δὲ μὴ τούτων τι ἐπιζητεῖ, ἐπὶ τὸ
γ ἐλθὼν μνησθήσεται, εἰ τὸ η, ἢ τὸ ζ ἐπι-
ζητεῖ. εἰ δὲ μή, ἐπὶ τὸ α. καὶ οὕτως ἀεί.
τοῦ δ' ἀπὸ τοῦ αὐτοῦ ἐνίοτε μὲν μνησθῆναι,
ἐνίοτε δὲ μή, αἴτιον, ὅτι ἐπὶ πλείω ἐνδέ-
χεται κινηθῆναι ἀπὸ τῆς αὐτῆς ἀρχῆς·
οἷον ἀπὸ τοῦ γ ἐπὶ τὸ ζ, ἢ τὸ δ. ἐὰν οὖν
μὴ διὰ παλαιοῦ κινῆται, ἐπὶ τὸ συνη-
θέστερον κινεῖται· ὥσπερ γὰρ φύσις ἤδη τὸ
D ἔθος. διὸ ἃ πολλάκις ἐννοοῦμεθα, ταχὺ
ἀναμιμνησκόμεθα· ὥσπερ γὰρ φύσει τόδε
μετὰ τόδε ἐστίν, οὕτω καὶ ἐνεργείᾳ. τὸ δὲ
πολλάκις φύσιν ποιεῖ. ἐπεὶ δ' ὥσπερ γὰρ
ἐν τοῖς φύσει, καὶ παρὰ φύσιν, καὶ ἀπὸ
τύχης, ἔτι μᾶλλον ἐν τοῖς δι' ἔθος, οἷς
ἡ φύσις μὴ ὁμοίως ὑπάρχει· ὥστε κινη-
θῆναι ἐνίοτε κἀκεῖ καὶ ἄλλως· ἄλλως
τε καὶ ὅταν ἀφέλκῃ ἐκεῖθεν, αὐτόσε πῃ.
E καὶ διὰ τοῦτο ὅταν δέῃ ὄνομα μνημονεῦ-
σαι, παρόμοιον μέν, εἰς δ' ἐκεῖνο σολοικί-
ζομεν. τὸ μὲν οὖν ἀναμιμνήσκεσθαι, τοῦ-
τον συμβαίνει τὸν τρόπον. τὸ δὲ μέγιστον,
γνωρίζειν δεῖ τὸν χρόνον, ἢ μέτρῳ, ἢ ἀο-
ρίστως. ἔστι δέ τι ὃ κρίνει τὸν πλείω καὶ
τὸν ἐλάττω· εὔλογον δέ, ὥσπερ τὰ μεγέθη·

νοεῖ γὰρ τὰ μεγάλα καὶ πόρρω, οὐ τῷ ἀποτείνειν ἐκεῖ τὴν διάνοιαν, ὥσπερ τὴν ὄψιν φασί τινες· καὶ γὰρ μὴ ὄντων ὁμοίως νοήσει· ἀλλὰ τῇ ἀνάλογον κινήσει· ἔστι γὰρ ἐν αὐτῇ τὰ ὅμοια σχήματα καὶ αἱ κινήσεις. τίνι οὖν διοίσει, ὅταν τὰ μείζω νοῇ· ἢ ὅτι ἐκεῖνα νοεῖ, ἢ τὰ ἐλάττω; πάντα γὰρ τὰ ἐντὸς ἐλάττω, ὥσπερ ἀνάλογον καὶ τὰ ἐκτός. ἔστι δ' ἴσως ὥσπερ καὶ τοῖς εἴδεσιν ἀνάλογον λαβεῖν, ἀλλ' ἐν αὐτῷ, οὕτω καὶ τοῖς ἀποστήμασιν. ὥσπερ οὖν εἰ τὴν α β, β ε κινεῖται, ποιεῖ * τὴν γ δ· ἀνάλογον γὰρ ἡ α γ, καὶ ἡ γ δ. τί οὖν μᾶλλον τὴν γ δ, ἢ τὴν ζ η ποιεῖ; ἢ ὡς ἡ α γ πρὸς τὴν α β ἔχει· οὕτως ἡ τὸ θ * πρὸς τὴν μ ἔχει· ταύτας οὖν ἅμα καὶ κινεῖ. ἂν δὲ τὴν ζ η βούληται νοῆσαι, τὴν μὲν β ε, ὁμοίως νοεῖ. ἀντὶ δὲ τῆς θ ε, τὰς κ λ νοεῖ· αὗται γὰρ ἔχουσιν, ὡς ζ α, πρὸς β α. ὅταν οὖν ἅμα ἥ τε τοῦ πράγματος γίνηται κίνησις, καὶ ἡ τοῦ χρόνου, τότε τῇ μνήμῃ ἐνεργεῖ. ἂν δ' οἴηται μὴ ποιῶν, οἴεται μνημονεύειν· οὐδὲν γὰρ κωλύει διαψευσθῆναί τινα, καὶ δοκεῖν μνημονεύειν μὴ μνημονεύοντα· ἐνεργοῦντα δὲ τῇ μνήμῃ, μὴ οἴεσθαι, ἀλλὰ λανθάνειν μεμνημένον, οὐκ ἔστι· τοῦτο γὰρ ἦν αὐτὸ τὸ μεμνῆσθαι. ἀλλ' ἐὰν ἡ τοῦ πράγματος γίνηται χωρὶς τῆς τοῦ χρόνου, ἢ αὕτη ἐκείνης, οὐ μέμνηται. ἡ δὲ τοῦ χρόνου διττή ἐστιν· ὁτὲ μὲν γὰρ μέτρῳ οὐ μέμνηται * αὐτό, οἷον ὅτι τρίτην ἡμέραν· ὅτι μέν τοι ποτὲ ἐποίησεν· ὁτὲ δὲ καὶ μέτρῳ· ἀλλὰ μέμνηται καὶ ἐὰν μὴ μέτρῳ. εἰώθασι δὲ λέγειν, ὅτι μέμνηνται μέν, πότε δὲ οὐκ ἴσασιν, ὅταν μὴ γνωρίζωσι τοῦτο, πότε τῷ ποσῷ μέτρῳ. ὅτι μὲν οὖν οὐχ οἱ αὐτοὶ μνημονικοὶ καὶ ἀναμνηστικοί, ἐν τοῖς πρότερον εἴρηται.

Διαφέρει δὲ τὸ μνημονεύειν τοῦ ἀναμιμνήσκεσθαι, οὐ μόνον κατὰ τὸν χρόνον, ἀλλ' ὅτι τοῦ μὲν μνημονεύειν καὶ τῶν ἄλλων ζώων μετέχει πολλά· τοῦ δ' ἀναμιμνήσκεσθαι, οὐδέν, ὡς εἰπεῖν, * τῶν γνωριζομένων ζώων, πλὴν ἄνθρωπος. αἴτιον δ', ὅτι τὸ ἀναμιμνήσκεσθαί ἐστιν οἷον συλλογισμός τις· ὅτι γὰρ πρότερον εἶδεν, ἢ ἤκουσεν, ἤ τι τοιοῦτον ἔπαθε, συλλογίζεται ὁ ἀναμιμνησκόμενος, καὶ ἔστιν οἷον

γρ. ἢ α δ.

γρ. πρὸς τὸ μ

γρ. αὐτῶν apud Themist. est, οὐ μέμνηνται αὐτῶν.

γρ. γνωρίμων

A Porro magnitudines amplissimas, & quæ à nobis procul absunt, intelligere solet, non quòd intelligentia ipsa (Græci dianœan vocant) procedat foras, atque ad eas sese applicet, quemadmodum quidam de visu dixerunt; (nam etiamsi non sint, ex æquo tamen intelliget) sed per motum qui proportione quadam illis respondeat. habet enim in se motus effigiésque, rebus quas intelligit, persimiles. Quo igitur differat, cùm maiores intelligit? An quod & minores intelligat? quæcumque enim ambiuntur, interioráque B sunt, minora sunt: & eis, quæ continent & extima sunt, proportione quadam respondent. Atque fortasse qualis proportio inter simulachra ipsa, sed adiuncto tempore, capi potest: talis & in ipsis quoque interuallis distantiisque reperiatur. Nam qui lineas a b & b e confecit, lineas a c & c d confecisse videtur: quando hæ cum illis proportionis nexu iunctæ sunt. Sed cur potiùs lineas a c d, quàm lineas a f & f g? An sicut refertur linea a c ad a b, ita linea k h ad lineam k m? Qui ergo lineam k m transegit, simul lineam κ h transegerit oportet. Si verò intellexisse ve- C lit lineas a f & f g, lineas quidem a b & b e, similiter intelligit: at è regione lineæ k m, lineam k l. Nam hæc ad illam ita sese habet, vt lineam f a ad lineam b a se habere videmus. Quando igitur negotium & tempus simul animum inuadunt excitántque, tum meminisse solet. quòd si se coniungere vtrumque putet, non tamen coniungat, se meminisse autumat. nihil enim obstat quin fallatur aliquis, & se meminisse, cum non meminit, putet. quamquam fieri non potest vt qui meminit, se meminisse non aduer- D tat, sed id eum lateat. nam meminisse, idipsum est. At si negotium absque tempore, aut contra tempus absque negotio iacentem animũ extimularit, haudquaquam meminit. Cæterùm tempus illud duplex est. nam interdum quis certum tempus non adhibet, vt cùm se fecisse non pridie, sed aliquando meminit: interdum etiam adhibet. Verùm meminisse dicitur, etiamsi certum tempus minimè adhibeat. nam vulgo dici solet, equidem memini factum, sed quando, non memini, cùm de tempore facti non constat. Quibus præcipua inest memoria, non E eisdem & reminiscentiam inesse eximiam, diximus suprà.

Distat verò memoria à reminiscentia, non solùm ratione temporis, sed in eo quoque, quòd & complures aliæ animãtes memoria participant: reminiscẽtia nulli ex omniũ animalium numero, quorum natura comperta exploratáque habeatur, præterquam homini concessa sit. Causa cur ita, est, quòd reminiscẽtia veluti syllogismus quidã, id est, ratiocinatio, existit. nã qui reminiscitur, quod prius audierit, viderit, aut quippiam id genus fecerit, ratiocinari assolet. Item quasi disquisitio

quædam. disquisitionem verò iis solis natura tribuit, quibus consultandi deliberandique ratio competit. etenim consultatio siue deliberatio, ratiocinatio quędam est. Porro affectionem ipsam corporalem esse: & reminiscentiam disquisitionem in tali viso, indicium est, quod nonnulli obturbari solent, & cum reminisci non possunt, & cùm cogitationem reprimunt, conantúrque non vltra reminisci, & potissimum quos atra bilis exercet. hos enim maximè phantasmata mouent. Causa verò, cur reminiscentia in potestate eorum non sit, est: quòd sicut qui iaculatur emissum telū, non vltrà sistere potest: ita qui reminisci & vestigare aliquid contendit, nescio quid corporeum mouet, cui affectio hæc consignatur. Maximè autem adagitari solent, quibus humoris copia circa sensoriam sedem redundat, non enim facilè tranquillatur, motu semel inito quousque id quod quæritur, occurrat, & motio ipsa recto incessu procedens ad metam vsque perueniat. Quamobrem & metus & iræ, simul atque commotæ sunt, sedari quamlibet repugnantibus illis non possunt, sed eodem cōtra nituntur. Atque perinde euenit atque iis qui paulò concitatiùs validiúsque nomina aliquot orationémve recensuere, aut cantionem aliquam emodulati sunt. nam vbi cessarunt, iterum, etiam inuitis, canere ac loqui subit.

Cæterùm illi quibus superiora proportione reliqui corporis sunt vasta, quique forma pumilionis degenerant, minùs memoria valent, quàm qui contrario sunt habitu, quòd ipsa sentiendi vis pondere grauiore opprimatur: quódque nec initio inhærere ac desistere formæ rerum possint, sed dissiliant, nec cùm reminisci volunt, recto itinere sequantur reddantúrque. Sanè impendio pueri, & admodum senes, immemores sunt, propter motum quem sustinēt. nam hi valde minuuntur, illi verò magnum subeunt incrementum. adde etiam, quòd vsque ad ætatem prouectam, similes nanis sunt.

Ergo quid sit memoria, quid meminisse, qua facultate animalia meminerint; item quid reminiscentia, quid reminisci, quemadmodum fiat, & quam ob causam, dictum est.

A ζήτησίς τις. τοῦτο δ' οἷς καὶ τὸ βουλευτικὸν ὑπάρχει, φύσει μόνοις συμβέβηκε· καὶ γὰρ τὸ βουλεύεσθαι, συλλογισμός τις ἐστίν. ὅτι δὲ σωματικόν τι τὸ πάθος, καὶ ἡ ἀνάμνησις ζήτησις ἐν τοιούτῳ φαντάσματι, σημεῖον τὸ παρενοχλεῖν ἐνίοις, ἐπεὶ δ' ἂν μὴ δύνωνται ἀναμνησθῆναι, καὶ πάνυ ἐπέχοντας τὴν διάνοιαν, κἂν οὐκ ἔτι ἐπιχειροῦντας ἀναμιμνήσκεσθαι, οὐδὲν ἧττον, καὶ μάλιστα τοὺς μελαγχολικούς· τούτους γὰρ φαντάσματα κινεῖ μάλιστα. αἴτιον

B δὲ τοῦ μὴ ἐπ' αὐτοῖς εἶναι τὸ ἀναμιμνήσκεσθαι, ὅτι καθάπερ τοῖς βάλλουσιν * οὐκ ἔτι ἐπ' αὐτοῖς τὸ στῆσαι, οὕτω καὶ ὁ ἀναμιμνησκόμενος καὶ θηρεύων, σωματικόν τι κινεῖ, ἐν ᾧ τὸ πάθος. μάλιστα δ' ἐνοχλοῦνται, οἷς ἂν ὑγρότης τύχῃ ὑπάρχουσα περὶ τὸν αἰσθητικὸν τόπον· οὐ γὰρ ῥᾳδίως παύεται κινηθεῖσα, ἕως ἂν * ἐπέλθῃ τὸ ζητούμενον, καὶ εὐθυπορήσῃ ἡ κίνησις. διὸ καὶ ὀργαὶ καὶ φόβοι, * ὅταν τι κινήσωσιν, ἀντικινούντων πάλιν τούτων, οὐ καθίστανται, ἀλλ'

C ἐπὶ τὸ αὐτὸ ἀντικινοῦσι· καὶ ἔοικε τὸ πάθος τοῖς ὀνόμασι, καὶ μέλεσι, καὶ λόγοις, ὅταν διὰ στόματος αὐτῶν τι γένηται σφόδρα· παυσαμένοις γὰρ καὶ οὐ βουλομένοις, ἐπέρχεται πάλιν ᾄδειν ἢ λέγειν. εἰσὶ δὲ καὶ οἱ τὰ ἄνω μείζω ἔχοντες, καὶ οἱ νανώδεις, ἀμνημονέστεροι τῶν ἐναντίων, διὰ τὸ πολὺ βάρος ἔχειν ἐπὶ τῷ αἰσθητικῷ, μήτ' ἐξ ἀρχῆς τὰς κινήσεις δύνασθαι ἐμμένειν, ἀλλὰ διαλύεσθαι, μήτ' ἐν τῷ ἀναμιμνήσκεσθαι ῥᾳδίως εὐθυπορεῖν. οἱ δὲ πάμπαν νέοι καὶ λίαν γέροντες, ἀμνή-

D μονες, διὰ τὴν κίνησιν· οἱ μὲν γὰρ ἐν φθίσει, οἱ δ' ἐν αὐξήσει πολλῇ εἰσίν. ἔτι δὲ τά γε παιδία, καὶ νανώδη ἐστὶ μέχρι πόρρω τῆς ἡλικίας.

Περὶ μὲν οὖν μνήμης καὶ τοῦ μνημονεύειν, τίς ἡ φύσις αὐτῶν, καὶ τίνι τῶν τῆς ψυχῆς μνημονεύει τὰ ζῷα, καὶ περὶ τοῦ ἀναμιμνήσκεσθαι τί ἐστι, καὶ πῶς γίνεται, καὶ διὰ τίνας αἰτίας, εἴρηται.

E

γρ. ἐπ' ἐ

γρ. ἐπανέλθῃ

γρ. ὅταν κινηθῶσι,

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ,

## ΠΕΡΙ ΥΠΝΟΥ ΚΑΙ ΕΓΡΗΓΟΡΣΕΩΣ.

# ARISTOTELIS

## STAGIRITÆ, DE SOMNO ET VIGILIA, LIBER.

Nicolao Leonico Interprete.

### ΚΕΦΑΛ. α΄.

Ὑπόθεσις τῶν ἐφεξῆς λεκτέων. ὅτι τοῦ αὐτοῦ μέρους αἰσθητικοῦ ἥ τε ἐγρήγορσις ὑπάρχει καὶ ὁ ὕπνος· καὶ ὅτι οὔτε ψυχῆς ἴδια, οὔτε τοῦ σώματος, κοινὰ δέ· καὶ ὅτι ἐν μέρει πᾶσι τοῖς ζῴοις ὑπάρχει, οὐδέτερον δ᾽ ἀεί, ἢ οὐδέ ποτε. καὶ ὅτι φυτῶν οὐδενί.

A

ΠΕΡΙ δὲ ὕπνου καὶ ἐγρηγόρσεως [ἐπισκεπτέον,] τίνα τε τυγχάνει ὄντα, καὶ πότερον ἴδια τῆς ψυχῆς, ἢ τοῦ σώματος, ἢ κοινά· κἂν ᾖ κοινά, τίνος μορίου τῆς ψυχῆς, ἢ τοῦ σώματος· καὶ διὰ τίνα αἰτίαν ὑπάρχει τοῖς ζῴοις· καὶ πότερον ἅπαντα κεκοινώνηκεν αὐτῶν ἀμφοτέρων, ἢ τὰ μὲν, ὕπνου· τὰ δὲ θατέρου μόνον· ἢ τὰ μὲν οὐδετέρου, τὰ δὲ ἀμφοτέρων. πρὸς δὲ τούτοις, τί ἐστι τὸ ἐνύπνιον, καὶ διὰ τίνα αἰτίαν καθεύδοντες, ὁτὲ μὲν ὀνειρώττουσιν, ὁτὲ δὲ οὔ· ἢ συμβαίνει μὲν ἀεὶ καθεύδουσιν ἐνυπνιάζειν, ἀλλ᾽ οὐ μνημονεύουσι. κἂν εἰ τοῦτο γίνεται, διὰ τίνα αἰτίαν γίνεται, καὶ πότερον ἐνδέχεται τὰ μέλλοντα προορᾶν, ἢ οὐκ ἐνδέχεται, καὶ τίνα τρόπον εἰ ἐνδέχεται· καὶ πότερον τὰ μέλλοντα ὑπ᾽ * ἀνθρώπου [μόνον] πράττεσθαι, ἢ καὶ ὧν τὸ δαιμόνιον ἔχει τὴν αἰτίαν· καὶ φύσει γίνεται, ἢ ἀπὸ ταὐτομάτου. πρῶτον μὲν οὖν τοῦτό γε φανερόν, ὅτι ἐν τῷ αὐτῷ τοῦ ζῴου ἥ τε ἐγρήγορσις ὑπάρχει καὶ ὁ ὕπνος· ἀντίκειται γάρ, καὶ φαίνεται στέρησίς τις ὁ ὕπνος τῆς ἐγρηγόρσεως· ἀεὶ γὰρ τὰ ἐναντία καὶ ἐπὶ τῶν ἄλλων, καὶ ἐν τοῖς φυσικοῖς, ἐν τῷ αὐτῷ δεκτικῷ φαίνεται γινόμενα, καὶ τοῦ αὐτοῦ ὄντα * πάθη· λέγω δέ, οἷον ὑγίεια καὶ νόσος, καὶ κάλλος καὶ αἶσχος, καὶ ἰσχὺς καὶ ἀσθένεια, καὶ ὄψις καὶ τυφλότης, καὶ ἀκοὴ καὶ κωφότης. ἔτι δὲ καὶ ἐκ τῶνδε δῆλον·

γρ. ἀνθρώπων

γρ. πάθος.

### CAPVT I.

*De somno & vigilia quæ sint quærenda, summatim explicat: deinde ad rem aggrediens, pertinere ea ad eandem animalis partem docet: nec corpori nec animæ esse propria, sed vtrique communia: omnibus animalibus commune esse, vt modò dormiant, modò vigilent, non aut semper aut nunquam. plantas nec dormire nec vigilare.*

DE somno & vigilia hæc consideremus oportet, primùm quid sint: &
B
vtrùm animæ an corpori propria sint, an vtrisque communia: &, si communia sint, cui parti tam animæ quàm corporis credita: &, cur tributa animalibus sint. & vtrùm vtrumque omnibus communicatum sit: an alteris hoc, illud alteris solùm: an aliis neutrum, aliis vtrumque. tum etiam quid sit insomniũ: & quamobrẽ dormientes, modò somnient, modò non somniẽt: aut somniẽt quidẽ semper, sed nõ meminerint. & hoc si fit, quam ob causam fiat. Item possintne futu-
C
ra præuideri, necne: & si possint, qua ratione præsentiri queant. & vtrum ea solùm quæ agantur ab homine, an etiam quorum causa sit Deus, & natura, fiant, temeritatéve aliqua. Ac primùm quidem illud constare arbitror, ad eandem animalis partem somnum & vigiliam pertinere: quandoquidem opposita inuicem sunt, & ille vt priuatio quædam huius habetur. nam semper extrema tam in aliis quàm in hisce quæ à natura dependent, in eodem recipi, & eiusdem affectiones esse videntur: vt sanitas & morbus, pulchritudo & fœditas, robur & imbecillitas, visus & cæcitas, auditus & surditas. Item & ex iis quæ sequuntur, palam fiat.

A nam quo vigilare aliquem cognoscimus, eodem & dormire deprehendimus. qui enim sentit, eundem vigilare censemus. Atque vigilantem omnem cognoscimus, aut quia externum motum aliquem sentiat, aut quia intestino aliquo feriatur. Si ergo vigilia ipsa in alio nullo quàm in sentiendo consistat, certum est, quæ vigilant ac dormiunt, eodem vigilare ac dormire, quo sentiant. Cùm autem sentire ipsum neque animæ neque corporis proprium sit, (nam ad idem actus & potentia pertinent; B sensus autem actu, est motio quædam animæ, interuentu corporis proueniens) manifestum est affectionem hanc, dico ipsum vigilare, nec propriam animæ esse, neque item corporis, cùm corpus inanime sentire non possit. Porro cum de particulis animæ alicubi iam retro definitum sit, cúmque vegetatrix seiuncta à reliquis habeatur, reliquæ sine hac subsistere non possint; clarum est, quæ augentur solùm & minuuntur, vt stirpes ac plantæ, somno & vigilia destitui solere, quòd sensu careant: siue separabilis ille quidem sit, siue non sit. nam potentia & ratione separabilis est. C Pari quoque modo constat, nullum esse animal quod aut semper dormiat, aut semper vigilet, sed vtrumque eidem tributum à natura esse. non enim si quod animal est sensu præditum, neque dormire id, neque vigilare contingit. quando vterque hic affectus circa sensum primi sensitiui accidere solet. Fieri autem non potest vt alter horum eidem semper insit: verbi gratia, vt genus aliquod animalis aut semper dormiat, aut semper vigilet. Nam fieri nequit vt nullum semper vigilet. D quando quæcumque munia aliqua naturæ obeunt, simul ac temporis modum excesserint, in quantum sufficere operi poterant, lassescant succumbántque, & à muneribus quæque suis desistant oportet: vt oculi, manus, & quicquid aliud functionem aliquam exercere solet. Itaque si quid sentiendi officio fungatur, spatio exacto quo continenter gerere & administrare potest, fatiscet, nec præterea operari valebit. Cùm ergo vigilia exolutione sensus finiatur, & contrariorum si alterum adsit, alterum abesse oporteat: E vigilia verò somno cōtraria sit, sitque necessariū cuilibet alterū inesse: sequitur, vt ea dormire oporteat. Igitur si talis affectio somnus est, somnus verò impotentia, quam vigiliæ excessus cōmittit: vigiliæ autem excessus interim ab ægritudine pendet, interim citra ægritudinem accidit; vnde fit, vt quemadmodum exolutio duplex est, ita & impotentia duplex haberi possit: necessarium est vt quicquid vigilat, dormire aliquando contingat, quia vt semper agat, fieri non potest.

ᾧ γὰρ τὸν ἐγρηγορότα γνωρίζομεν, τούτῳ καὶ τὸν ὑπνοῦντα· τὸν γὰρ αἰσθανόμενον, τοῦτον ἐγρηγορέναι νομίζομεν· καὶ τὸν ἐγρηγορότα πάντα, ἢ τῶν ἔξωθέν τινος αἰσθάνεσθαι, ἢ τῶν ἐν αὐτῷ τινος κινήσεων. εἰ τοίνυν τὸ ἐγρηγορέναι ἐν μηδενὶ ἄλλῳ ἐστὶν ἢ τῷ αἰσθάνεσθαι, δῆλον ὅτι ᾧπερ αἰσθάνεται, τούτῳ ἐγρήγορέ τε τὰ ἐγρηγορότα, καὶ καθεύδει τὰ καθεύδοντα. ἐπεὶ δὲ οὔτε τῆς ψυχῆς ἴδιον τὸ αἰσθάνεσθαι, οὔτε τοῦ σώματος· (οὗ γὰρ ἡ δύναμις, τούτου καὶ ἡ ἐνέργεια· ἡ δὲ λεγομένη αἴσθησις, ὡς ἐνέργεια, κίνησίς τις διὰ τοῦ σώματος τῆς ψυχῆς ἐστί·) φανερὸν ὡς οὔτε τῆς ψυχῆς τὸ πάθος ἴδιον, οὔτ' ἄψυχον σῶμα δυνατὸν αἰσθάνεσθαι. διωρισμένων δὲ πρότερον ἐν ἑτέροις περὶ τῶν λεγομένων ὡς μορίων τῆς ψυχῆς, καὶ τοῦ μὲν θρεπτικοῦ* χωριζομένου τῶν * ἄλλων, τῶν δὲ ἄλλων οὐδενὸς ἄνευ τούτου ὄντος, δῆλον ὡς ὅσα μὲν αὐξήσεως καὶ φθίσεως μετέχει * μόνον ζώντων, ὅτι τούτοις οὐχ ὑπάρχει ὕπνος, οὐδὲ ἐγρήγορσις, οἷον τοῖς φυτοῖς· οὐ γὰρ ἔχει τὸ αἰσθητικὸν μόριον, οὔτε εἰ χωριστόν ἐστιν, οὔτε εἰ μὴ χωριστόν· τῇ γὰρ δυνάμει καὶ τῷ εἶναι χωριστόν ἐστιν. ὁμοίως δὲ, καὶ ὅτι οὐδέν ἐστιν, ὃ ἀεὶ ἐγρήγορεν, ἢ ἀεὶ καθεύδει· ἀλλὰ τοῖς αὐτοῖς ὑπάρχει τῶν ζώων ἀμφότερα τὰ πάθη ταῦτα. οὔτε γὰρ * εἴ ἐστι ζῷον ἔχον αἴσθησιν, τοῦτ' ἐνδέχεται οὔτε καθεύδειν οὔτε ἐγρηγορέναι· ἄμφω γάρ ἐστι τὰ πάθη ταῦτα περὶ αἴσθησιν τοῦ πρώτου αἰσθητικοῦ. οὐκ ἐνδέχεται δὲ οὐδὲ θάτερον τούτων ἀεὶ ὑπάρχειν τῷ αὐτῷ· * οἷον τι γένος ζώων ἀεὶ καθεύδειν, ἢ ἀεὶ ἐγρηγορέναι. ἔτι ὅσων ἔργον τι κατὰ φύσιν ἐστὶν, ὅταν ὑπερβάλλῃ τὸν χρόνον * ἐν ὅσῳ δύναταί τι ποιεῖν, ἀνάγκη ἀδυνατεῖν. οἷον τὰ ὄμματα ὁρῶντα, καὶ παύεσθαι τοῦτο ποιοῦντα. ὁμοίως δὲ καὶ χεῖρα, καὶ ἄλλο πᾶν, οὗ ἐστί τι ἔργον. εἰ δή τινός ἐστιν ἔργον τὸ αἰσθάνεσθαι, καὶ τοῦτ' ἂν ὑπερβάλλῃ, ὅσον ἦν χρόνον δυνάμενον αἰσθάνεσθαι συνεχῶς, ἀδυνατήσει, καὶ οὐκ ἔτι τοῦτο ποιήσει. εἰ τοίνυν τὸ ἐγρηγορέναι, ὥρισται τῷ λελύσθαι τὴν αἴσθησιν· τῶν δὲ ἐναντίων, τὸ μὲν ἀνάγκη [ὥσπερ ἀεὶ] παρεῖναι, τὸ δὲ οὔ· τὸ δὲ ἐγρηγορέναι τῷ καθεύδειν ἐναντίον, καὶ ἀναγκαῖον παντὶ θάτερον ὑπάρχειν· ἀναγκαῖον ἂν εἴη καθεύδειν. εἰ οὖν τὸ τοιοῦτον πάθος ὕπνος· (τοῦτο δὲ ἐστὶν ἀδυναμία δι' ὑπερβολὴν τοῦ ἐγρηγορέναι· ἡ δὲ τοῦ ἐγρηγορέναι ὑπερβολὴ, ὁτὲ μὲν νοσώδης, ὁτὲ δὲ ἄνευ νόσου γίγνεται· ὥστε καὶ ἡ ἀδυναμία, καὶ ἡ διάλυσις ὡσαύτως ἔσται·) ἀνάγκη πᾶν τὸ ἐγρηγορὸς ἐνδέχεσθαι καθεύδειν. ἀδύνατον γὰρ ἀεὶ ἐνεργεῖν.

γρ. χωριζομένου
γρ. ἄλλων ἐν τοῖς ἔχουσι σῶμα, τ.
γρ. μόνον τῶν ζώντων.
γρ. ἀπ' ἐ.
γρ. οἷον ἀεὶ π. γ. ζ. ἢ ἀεὶ πι.
γρ. ἐπ' ὅσον δυνάται τὸν χρόνον ποιῇ. al. ἤ τι

ὁμοίως δὲ οὐδὲ καθεύδειν οὐδὲν ἀεὶ ἐνδέχεται· ὁ γὰρ ὕπνος, πάθος τι τοῦ αἰσθητικοῦ μορίου ἐστίν, οἷον δεσμὸς, καὶ ἀκινησία τις. ὥστ' ἀνάγκη πᾶν τὸ καθεῦδον ἔχειν τὸ αἰσθητικὸν μόριον· αἰσθητικὸν δὲ, τὸ δυνατὸν αἰσθάνεσθαι κατ' ἐνέργειαν· ἐνεργεῖν δὲ τῇ αἰσθήσει κυρίως, καὶ ἁπλῶς, ἀδύνατον καθεύδοντα ἅμα· διὸ ἀναγκαῖον ὕπνον πάντα ἐγερτὸν εἶναι. τὰ μὲν οὖν ἄλλα σχεδὸν ἅπαντα δῆλα κοινωνοῦντα ὕπνου, καὶ πλωτὰ, καὶ πτηνὰ, καὶ πεζά· καὶ γὰρ τὰ τῶν ἰχθύων γένη πάντα, καὶ τὰ τῶν μαλακίων ὦπται B καθεύδοντα, καὶ ἄλλα πάντα ὅσα ἔχει ὀφθαλμούς· καὶ γὰρ τὰ σκληρόφθαλμα * φανερὸν, καὶ τὰ ἔντομα κοιμώμενα· βραχύϋπνα δὲ τὰ τοιαῦτα πάντα. διὸ καὶ λάθοι ἄν τινα πολλάκις, πότερον μετέχει τοῦ καθεύδειν, ἢ οὔ· τῶν δὲ ὀστρακοδέρμων, κατὰ μὲν τὴν αἴσθησιν, οὐδέπω γέγονε φανερὸν, εἰ καθεύδει. εἰ δέ τῳ πιθανὸς ὁ λεχθεὶς λόγος, τούτῳ πεισθήσεται. ὅτι μὲν οὖν ὕπνου * κοινωνεῖ τὰ ζῶα πάντα, φανερὸν ἐκ τούτων· τῷ γὰρ αἴσθησιν ἔχειν ὥρισται τὸ ζῶον· τῆς δὲ αἰσθήσεως τρόπον μέν τινα τὴν ἀκινησίαν, καὶ οἷον δεσμὸν τὸν ὕπνον εἶναι φαμέν· τὴν C δὲ λύσιν καὶ τὴν ἄνεσιν, ἐγρήγορσιν. τῶν δὲ φυτῶν οὐδὲν οἷόν τε κοινωνεῖν οὐδετέρου τούτων τῶν παθημάτων. ἄνευ μὲν γὰρ αἰσθήσεως, οὐχ ὑπάρχει οὔτε ὕπνος, οὔτε ἐγρήγορσις. οἷς δ' αἴσθησις ὑπάρχει, καὶ τὸ λυπεῖσθαι καὶ τὸ χαίρειν· οἷς δὲ ταῦτα, καὶ ἐπιθυμία· τοῖς δὲ φυτοῖς οὐδὲν ὑπάρχει τούτων. σημεῖον δ' ὅτι καὶ τὸ ἔργον τὸ αὑτοῦ ποιεῖ τὸ θρεπτικὸν μόριον, ἐν τῷ καθεύδειν μᾶλλον ἢ ἐν τῷ ἐγρηγορέναι· D τρέφεται γὰρ καὶ αὐξάνεται τότε μᾶλλον, ὡς οὐδὲν προσδεόμενα πρὸς ταῦτα τῆς αἰσθήσεως.

Quid, φανερά,

γρ. κοινωνοῦσι

A Consimiliter fieri nequit, vt semper dormiat: nam somnus, affectio quædam sensoriæ partis, quasi vinculum quoddam & immobilitas existit. Ex quo sequitur, quicquid dormit, sensitiuam partem habere. Sensitiuum autem est, quod sentire actu potest. sentire verò actu simpliciter & propriè, nemo per quietem potest. Nullus igitur somnus est, qui expergiscibilis non sit. Cætera ferè omnia, pedestria, volatilia, natatilia, somno participant. etenim cuncta piscium genera, & ea quæ molli crusta integuntur, & præterea quæcumque B oculos habent, soporari cernuntur. nam & quibus oculi duri, & insecta, dormire palam est, quamquam isthæc omnia somno exiguo contenta sunt. vnde fit etiam, vt sæpenumero quempiam lateat, vtrùm obdormiscant necne. Vtrùm verò testacea sopore offundantur, nondum sensu quidem cognitum fuit: sed ratione tamen ea quam prædiximus, si cui probabilis videatur, persuaderi id potest. Somnum igitur animalibus communicatum omnibus esse, hac ratione patescit. nam animal eo finiri solet, quod sensum habeat. sensus verò immobilitatem quandam, & C quasi nodum & vinculum, somnum esse dicimus: contrà, exolutionem atque relaxationem, vigiliam. At plantis neutra harum affectionum communicari potest. quippe cùm citra sensum neque somnus esse neque vigilia possit. At quibus sensus inest, eisdem & dolor & voluptas concedi debet: quibus verò dolor & voluptas, eisdem & cupiditas. Plantis autem nihil horum tribui potest. argumento, quòd facultas quæ nutrit & vegetat, munus suum meliùs consopitis quàm D vigilantibus animalibus absoluat. tunc enim probiùs & aluntur & augentur, vt quæ nihil ad ea ope sensus egeant.

## ΚΕΦΑΛ. β'.

*Διὰ τί καθεύδει τὰ ζῶα καὶ ἐγρήγορε, καὶ διὰ ποίαν τινὰ αἴσθησιν, ἢ ποίας.*

ΔΙΑ τί δὲ καθεύδει καὶ ἐγρήγορε, καὶ διὰ ποίαν τιν' αἴσθησιν, ἢ ποίας, εἰ διὰ πλείους, σκεπτέον. ἐπεὶ δ' ἔνια μὲν τῶν ζώων E ἔχει τὰς αἰσθήσεις πάσας, ἔνια δ' οὐκ ἔχει, οἷον ὄψιν, ἀκοήν· τὴν δ' ἁφὴν, καὶ τὴν γεῦσιν, ἅπαντα ἔχει, πλὴν εἴ τι τῶν ζώων ἀτελές· εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς περὶ ψυχῆς· ἀδύνατον δ' ἐστὶν ἁπλῶς, ὁποιανοῦν αἴσθησιν αἰσθάνεσθαι τὸ καθεῦδον ζῶον· φανερὸν ὅτι πᾶσιν ἀναγκαῖον ὑπάρχειν τὸ αὐτὸ πάθος ἐν τῷ καλουμένῳ ὕπνῳ. εἰ γὰρ τῇ μὲν, τῇ δὲ μὴ, ταύτῃ καθεῦδον αἰσθήσεται·

## CAPVT II.

*Somni & vigiliæ vsus ac necessitas.*

CVr autem dormiant & vigilent, & per quem sensum, aut per quos, si per plures id eueniat, considerandum est. Cùm animalium quibusdam sensus omnes insint, quibusdam non omnes, vt visus, auditus: sed cunctis, tactus & gustus, nisi quid imperfectum lacessitúmque sit: de quibus omnibus in libris de Anima dictum est: fieri autem simpliciter non possit, vt dormiens animal vllo sensu abuti queat: patet, necessarium esse in somno eandem omnia subire conditionem. nam si partim eodem modo afficiantur, partim diuerso:

A hac nimirum ratione fiet, vt per quietē animal sentiat, id quod impossibile est. Porro cùm natura singulis sensibus propriū quid iniunxerit, & in omnes commune quid sparserit (proprium, vt visui videre, auditui audire, & reliquis ad eundem modum: cōmune, vim quandam promiscuā, quæ omneis comitatur, qua animal & videre & audire se sentit: non enim visu se videre videt, nec visu aut gustu iudicat, iudicaréve potest, distare dulce ab albo: neque seorsum, neque simul vtroque: sed particula quadam communi, quæ adiuncta sensibus B omnibus sit: nam sensus vnus est, & etiam principale sensorium vnū: ratio tamē sensioni cuiusque generis, vt soni & coloris nō vna, sed alia & alia. hæc autē cū tactu maximè cōiuncta est. nam tactus à cæteris sensibus diuelli potest, ab hoc cæteri non possunt. quæ omnia in cōmentariis de Anima explicata sunt:) hinc profectò constat, somnum & vigiliam, affectionē huius esse. Ideóque animalibus cunctis inest. etenim tactum vnū omnia possident. Nam si sopor irrepat, quia sensus omnes afficiantur, absurdum sanè fuerit, eos simul feriari & im- C mobiles persistere, quos neque necesse est neque possibile quodāmodò simul in opera esse ac pelli, cùm magis cōsentaneū videatur, vt simul operentur, quàm vt simul quiescant. Quod autem nunc de hisce dicimus, rationi consonum est. nam cùm sensus qui cæteris aliis præest, & quò cæteri sese conferunt, afficitur, necessariò & reliqui omnes consentiunt. at si quispiam ex istis elanguescat, & impotens sentiendi reddatur, non continuò necesse est illum flaccescere & viribus destitui. Constat autem D multis argumentis, somnum non ea re cōsistere quòd otiosi sensus sint, nec eis vtatur animal, quódque sentire non possint. Nam cùm quis animo linquitur, tale quid euenire constat: quando defectus animæ, non nisi nexus quidam, & impotentia sensuum est. Idem & in deliriis quibusdam contingere potest. Prętereà quibus venæ iugulares apprehēduntur, astringūtúrque, eripi sensus assolent. Verùm impotentia sentiendi, si non quacumque de causa obueniat, neque in quouis sensu sit, sed sicuti E nuper dixi, in primo sensu quo animal omnia percipit, somnus est. nam cùm iste lassatur, necessariò & cęteri sensus actus suos exercere non possunt. Contrà, si quis ex illis impotēs reddatur, non protinus necesse est idē huic euenire. Sed qualis affectio sōnus sit, & quam item ob causam dormire animalia contingat, dicendum est: quando complura haberi causarū genera, certū est. Nam & id cuius gratia quippiam, & id vnde motus origo pendeat, & materiam, & rationem, causas appellitare solemus.

A τοῦτο δ' ἀδύνατον. ἐπεὶ δ' ὑπάρχει καθ' ἑκάστην αἴσθησιν, τὸ μέν τι ἴδιον, τὸ δέ τι κοινόν· (ἴδιον μὲν, οἷον τῇ ὄψει τὸ ὁρᾶν, τῇ δ' ἀκοῇ τὸ ἀκούειν, καὶ ταῖς ἄλλαις κατὰ τὸν αὐτὸν * τρόπον· ἔστι δέ τις καὶ κοινὴ δύναμις ἀκολουθοῦσα πάσαις, ᾗ καὶ ὁρᾷ, καὶ ἀκούει, καὶ αἰσθάνεται· οὐ γὰρ δὴ τῇ γε ὄψει ὁρᾷ, ὅ, τι ὁρᾷ. καὶ κρίνει δὴ καὶ δύναται κρίνειν, ὅτι ἕτερα τὰ γλυκέα τῶν λευκῶν, οὔτε γεύσει, οὔτε ὄψει, οὔτ' ἀμφοῖν, ἀλλά τινι κοινῷ μορίῳ τῶν αἰσθητηρίων ἁπάν- B των· ἔστι μὲν γὰρ μία αἴσθησις, καὶ τὸ κύριον αἰσθητήριον ἕν· τὸ δ' εἶναι αἰσθήσει τοῦ γένους ἑκάστου ἕτερον, οἷον ψόφου καὶ χρώματος. τοῦτο δ' ἅμα τῷ ἁπτικῷ μάλιστα ὑπάρχει. τοῦτο μὲν γὰρ χωρίζεται τῶν ἄλλων αἰσθητηρίων· τὰ δ' ἄλλα τούτου ἀχώριστα· εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς περὶ ψυχῆς θεωρήμασι·) φανερὸν τοίνυν, ὅτι τούτου ἐστὶ πάθος ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος· διὸ καὶ πᾶσιν ὑπάρχει τοῖς ζῴοις· καὶ γὰρ ἡ ἁφὴ μόνη πᾶσιν. εἰ γὰρ τῷ πάσας τι πεπονθέναι τὰς C αἰσθήσεις ἐγίνετο τὸ καθεύδειν, ἄτοπον, εἰ αἷς οὔτ' ἀνάγκη, οὔτε δυνατὸν τρόπον τινὰ ἐνεργεῖν, ἅμα ταύτας ἀναγκαῖον ἀργεῖν, ἅμα καὶ ἀκινητίζειν· τοὐναντίον γὰρ εὐλογώτερον συνέβαινεν ἂν αὐταῖς, τὸ μὴ ἅμα ἠρεμεῖν. ὡς δὲ νῦν λέγομεν, εὐλόγως ἔχει καὶ περὶ τούτων· τοῦ γὰρ κυρίου τῶν ἄλλων πάντων * αἰσθητηρίου, καὶ πρὸς ὃ συντείνει τὰ ἄλλα, πεπονθότος ἦ, συμπάσχειν * ἀναγκαῖον καὶ τὰ λοιπὰ πάντα. ἐκείνων δέ τινος ἀδυνατοῦντος, οὐκ D ἀνάγκη τοῦτ' ἀδυνατεῖν. φανερὸν δ' ἐκ πολλῶν, ὅτι οὐκ ἐν τῷ τὰς αἰσθήσεις ἀργεῖν, καὶ μὴ χρῆσθαι αὐταῖς ὁ ὕπνος, οὐδ' ἐν τῷ μὴ δύνασθαι αἰσθάνεσθαι. καὶ γὰρ ἐν ταῖς λειποψυχίαις τοιοῦτον συμβαίνει· ἀδυναμία γὰρ αἰσθήσεων ἡ λειποψυχία. γίνονται δὲ καὶ ἔκνοιαί τινες τοιαῦται. ἔτι δ' οἱ τὰς ἐν τῷ αὐχένι φλέβας καταλαμβανόμενοι, ἀναίσθητοι γίνονται· ἀλλ' ὅταν ἡ ἀδυναμία τῆς χρήσεως, μήτ' ἐν τῷ ] τυχόντι ] αἰσθητηρίῳ, μήτε δι' ἣν E ἔτυχεν αἰτίαν, ἀλλὰ καθάπερ εἴρηται νῦν, ἐν τῷ πρώτῳ ᾧ αἰσθάνεται πάντων. ὅταν μὲν γὰρ τοῦτ' ἀδυνατήσῃ, ἀνάγκη καὶ τοῖς αἰσθητηρίοις πᾶσιν ἀδυνατεῖν * αἰσθέσθαι· ὅταν δ' ἐκείνων τινὶ, οὐκ ἀνάγκη τούτῳ. δι' ἣν δ' αἰτίαν συμβαίνει τὸ καθεύδειν, καὶ ποῖόν τι τὸ πάθος ἐστὶ, λεκτέον. ἐπεὶ δὲ τρόποι πλείους τῆς αἰτίας. καὶ γὰρ τὸ οὗ ἕνεκα, καὶ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ τὴν ὕλην, καὶ τὸν λόγον αἴτιον εἶναί φαμεν.

Marginal notes: γρ. λόγον. — γρ. αἰσθητηρίων. — γρ. αἰεὶ. — γρ. αἰσθάνεσθαι.

A πρότερον μὲν οὖν ἐπεὶ λέγομεν τὴν φύσιν ἕνεκά του ποιεῖν· τοῦτο δ' ἀγαθόν τι· τὴν δ' ἀνάπαυσιν παντὶ τῷ πεφυκότι κινεῖσθαι, μὴ δυναμένῳ δ' ἀεὶ καὶ συνεχῶς κινεῖσθαι, μεθ' ἡδονῆς ἀναγκαῖον εἶναι καὶ ὠφέλιμον τὴν ἀνάπαυσιν. τῷ δ' ὕπνῳ, αὐτῇ τῇ ἀληθείᾳ προσάπτουσι τὴν μεταφορὰν ταύτην, ὡς ἀναπαύσει ὄντι. ὥστε σωτηρίας ἕνεκα τῶν ζῴων, ὑπάρχει. ἡ δ' ἐγρήγορσις, τέλος· τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν, πᾶσι τέλος οἷς ὑπάρχει θάτερον αὐτῶν· βέλτιστα γὰρ ταῦτα. τὸ δὲ τέλος βέλτιστον, ὥστε ἀναγκαῖον ἑκάστῳ B τῶν ζῴων ὑπάρχειν τὸν ὕπνον. λέγω δὲ ἐξ ὑποθέσεως τὴν ἀνάγκην, ὅτι εἰ ζῷον ἔσται ἔχον τὴν αὑτοῦ φύσιν, ἐξ ἀνάγκης τινὰ ὑπάρχειν αὐτῷ δεῖ· καὶ τούτων ὑπαρχόντων, ἕτερα ὑπάρχειν. ἔτι δέ, ποίας κινήσεως καὶ πράξεως, ἐν τοῖς σώμασι* γιγνομένης, συμβαίνει τό, τε ἐγρηγορέναι, καὶ τὸ καθεύδειν τοῖς ζῴοις, μετὰ ταῦτα λεκτέον. τοῖς μὲν οὖν ἄλλοις ζῴοις καθάπερ τοῖς ἐναίμοις, ὑποληπτέον εἶναι τὰ αἴτια τοῦ πάθους, ἢ τὰ αὐτά, ἢ ἀνάλογον· τοῖς δ' ἐναίμοις, C ἅπερ τοῖς ἀνθρώποις· ὥστ' ἐκ τούτων* πάντων θεωρητέον. ὅτι μὲν οὖν ἡ τῆς αἰσθήσεως ἀρχὴ γίνεται ἀπὸ τοῦ αὐτοῦ μέρους τοῖς ζῴοις, ἀφ' οὗπερ καὶ ἡ τῆς κινήσεως, διώρισται πρότερον ἐν ἑτέροις. αὕτη δέ ἐστι τριῶν διωρισμένων τόπων, ὁ μέσος κεφαλῆς καὶ τῆς κάτω κοιλίας. τοῖς μὲν οὖν ἐναίμοις τοῦτ' ἐστὶ τὸ περὶ τὴν καρδίαν μέρος· πάντα γὰρ τὰ ἔναιμα, καρδίαν ἔχει· καὶ ἡ ἀρχὴ τῆς αἰσθήσεως καὶ τῆς κινήσεως τῆς κυρίας, ἐντεῦθεν ἐστι. τῆς μὲν οὖν κινή- D σεως φανερὸν ὅτι καὶ ἡ τοῦ πνεύματος ἀρχή, καὶ ὅλως ἡ τῆς καταψύξεώς ἐστιν ἐνταῦθα. καὶ τὰ ἀναπνέοντα, καὶ τὰ τῷ ὑγρῷ καταψυχόμενα πρός γε τὴν σωτηρίαν τοῦ ἐν τούτῳ τῷ μορίῳ θερμοῦ, ἡ φύσις πεπόρηκε. ῥηθήσεται δὲ περὶ αὐτῆς ὕστερον καθ' αὑτήν. τοῖς δ' ἀναίμοις, καὶ τοῖς ἐντόμοις, καὶ τοῖς μὴ δεχομένοις πνεῦμα, ἐν τῷ ἀνάλογον, * τὸ σύμφυτον πνεῦμα ἀναφυσώμενον, καὶ συνιζάνον φαίνεται. δῆλον δὲ τοῦτο ἐπὶ τῶν ὁλοπτέρων, E οἷον σφηκῶν, καὶ μελιττῶν, καὶ ἐν ταῖς μυίαις, καὶ ὅσα τοιαῦτα. ἐπεὶ δὲ κινεῖν μέν τι ἢ ποιεῖν ἄνευ ἰσχύος ἀδύνατον· ἰσχὺν δὲ ποιεῖ ἡ τοῦ πνεύματος κάθεξις, τοῖς μὲν εἰσφερομένοις, ἡ θύραθεν· τοῖς δὲ μὴ ἀναπνέουσιν, ἡ σύμφυτος. διὸ καὶ βομβοῦντα φαίνεται τὰ πτερωτά, ὅταν κινῆται τῇ τρίψει τοῦ πνεύματος προσπίπτοντος πρὸς τὸ ὑπόζωμα τῶν ὁλοπτέρων. κινεῖται δὲ πάντα, αἰσθήσεώς τινος γενομένης, ἢ οἰκείας, ἢ ἀλλοτρίας, ἐν τῷ πρώτῳ

γρ. φυομένης.

γρ. πάντα

γρ. ἢ γὰρ ...

A Ac primùm quidem, cùm naturam semper agere gratia alicuius, id est, boni, dicamus, quietem verò vtilem esse, atque adeò necessariam iis omnibus quæ moueri quidem nata sunt, sed semper & continuè moueri cum voluptate nequeunt, cúmque ob veritaté ipsam translatio hæc vulgò recepta sit, vt somnus quietis nomine designetur; somnus profectò ad saluté iunctus animalibus fuit. Vigilatio verò, rationé finis obtinet. nam sentire & sapere, finis omnibus est, quibus alterum eorum competit: hæc enim optima sunt: finis autem optimus esse solet. B Item somnus animali cuique necessarius est, non quidem simpliciter, sed ex supposito & adiunctione. nam si animal naturam suam seruare ac tueri debeat, necessariò quædá adesse ei oportet, quibus positis alia subinde adiungenda sunt. Post hæc restat dicendum, quo motu actionéve corporum antegressa, dormire animalibus obueniat, aut etiam vigilare. Planè cætera animalia, quæ nimirú sanguine carent, eádem quam quæ prædita sanguine sunt, aut proportionalem causam somni habere, sanguinea verò eam ipsam quam homines, arbitrari ad- C decet. Quare per hæc de omnibus cótemplemur oportet. Principium sensus eadem parte oriri, qua & principium motus, definitum suprà alicubi est. hoc autem è tribus determinatis distinctisque locis, in eo cótineri solet, qui inter caput & aluum medius sit. Principium igitur mouendi, in iis quæ sanguinem habét, partem eam quæ circum cor est, obtinet. nam quæcumque sanguinem habent, habent & cor, à quo motus sensúsque principis origo atque initium pendét. Motus igitur & spiritus, & omnino D refrigerationis principiú, in corde (vt patet) collocatú est. Quin & ipsa natura tá parteis eas quę spirationi destinatę sunt, quàm quę refrigerio quod ab humore peti solet, ad calorem partis huius seruãdum tutãdúmque cócinnasse videtur. Sed de refrigeratione infrà suo dicem⁹ volumine. In iis verò quæ carét sanguine, & insectis, & iis quæ spirare non solent, facultatis motricis regia in eo est, quod vice cordis subrogatur. nam ea in parte spiritus quidá insitus attolli vicibus & subsidere cernitur: quod facilè depreheE di potest in totipénibus, qualia sunt vespæ, apes, muscæ, & cætera generis eiusdem. Quoniá autem animalia nec mouere quicquam, nec agere sine intensione viriú possunt; intendútur autem vires retétione spiritus, iis quidem quæ spirát, extrinsecus accersiti, iis verò quæ non spirant, insiti: hinc profectò euenit vt totipénia ipsa quoties se mouent, attritu spiritus ad septum trásuersum offendentis, bombos illos edant. Mouétur auté omnia sensu quodá, siue familiari siue peregrino, in primo sésorio facto.

Quòd si somnus & vigilia partis huius affectiones sint, quo in loco & qua primùm particula contingere soleant, apertum est. Sunt etiam qui dormientes resurgunt, & pleraque agunt, qualia cum vigilant, solent: quod tamen sine visione aliqua aut sensu contingere non potest. nam somnium quodammodo sensum est. Sed de somnio, inferiùs differetur. Cur autem experrecti insomnia meminerint, quæ verò per somnum quasi vigilantes gesserint, non meminerint, explicatum in Problematis est.

A αἰσθητικῷ. εἰ δ' ἐστὶν ὁ ὕπνος καὶ ἡ ἐγρήγορσις πάθη τοῦ μορίου τούτου, ἐν ᾧ μὲν τόπῳ, καὶ ἐν ᾧ μορίῳ πρώτῳ γίνεται ὁ ὕπνος καὶ ἡ ἐγρήγορσις, φανερόν. κινοῦνται δ' ἔνιοι καθεύδοντες, καὶ ποιοῦσι πολλὰ ἐγρηγορικά· οὐ μήν τοι ἄνευ φαντάσματος καὶ αἰσθήσεώς τινος· τὸ γὰρ ἐνύπνιόν ἐστιν αἴσθημα τρόπον τινά. λεκτέον δὲ περὶ * αὐτῶν ὕστερον. διότι δὲ τὰ μὲν ἐνύπνια μνημονεύουσιν ἐγερθέντες, τὰς δὲ ἐγρηγορικὰς γρ. αὐτ. πράξεις οὐ μνημονεύουσιν, ἐν τοῖς προβλη-
B ματικοῖς εἴρηται.

## CAPVT III.

*Somnus ac vigilia quid, & vnde.*

PRoximum ab iis quæ diximus, est, vt quibus factis, & vnde affectionis huius origo, somni inquam & vigiliæ, proueniat, tractetur exponatúrque. Sanè cum animal vbi sensum habet, tum primum ali & crescere oporteat, sitque alimentum nouissimum sanguineis sanguis, exanguibus quod sanguini proportione respondet; atque venæ conceptacula sanguinis sint, venarum autem initium cor, id quod ex dissectionibus perspici potest: cibum vtique illum qui per os ingeri solet, in loca sua receptum euaporari in venas, ibique mutatum in sanguinem verti, & mox principium ipsum adire, constat. Quæ quamquam in libro de Alimento dicta sunt, nunc tamen repeti oportet, ad hoc vt principia motionis contemplemur, ecquid sustinente parte sensitiua somnus & vigilia contingat. Nec enim somnus quæcumque impotentia sensuum est, vt diximus. nam & dementia, & præfocatio, & animi defectus, talem impotentiam adferre potest. Iam vero accidit vt & quidam per forte animi deliquium quippiam imaginarentur. Hoc igitur aliquam habet controuersiam. Nam si defectum animo dormire contingat, continget etiam vt imaginatio illa insomnium sit. Porro multa dicunt qui ita vehementer tentantur, quique extinctorum speciem præferunt. De quibus omnibus eandem esse rationem putandum est. Sed enim, (vti iam diximus) non omnis impotentia sentiendi somnus est, sed ea solùm, quam diuaporatio committit alimenti. quod enim sursum halat, quadantenus attolli, deinde regredi ac refluere instar Euripi necesse est. nam animantis cuiusque calidum in sublime natura fertur:

## ΚΕΦΑΛ. γ'.

Τίνων γινομένων καὶ πόθεν ἡ ἀρχὴ τοῦ τ' ἐγρηγορέναι καὶ τοῦ καθεύδειν γίνεται.

Ἐχόμενον δὲ τῶν εἰρημένων ἐστὶν ἐπελθεῖν, τίνων γινομένων, καὶ πόθεν ἡ ἀρχὴ τοῦ πάθους γίνεται τοῦ τε ἐγρηγορέναι καὶ τοῦ καθεύδειν. φανερὸν δή, ὅτι ἐπεὶ ἀναγκαῖον τῷ ζῴῳ ὅταν αἴσθησιν ἔχῃ, τότε πρῶτον τροφὴν
C λαμβάνειν, καὶ αὔξησιν· τροφὴ δ' ἐστὶ πᾶσιν ἡ ἐσχάτη, τοῖς μὲν ἐναίμοις, ἡ τοῦ αἵματος φύσις· τοῖς δὲ ἀναίμοις, τὸ ἀνάλογον. τόπος δὲ τοῦ αἵματος, αἱ φλέβες· τούτων δ' ἀρχὴ ἡ καρδία· φανερὸν δὲ τὸ * λεχθὲν ἐκ τῶν ἀνατομῶν. τῆς μὲν οὖν θύραθεν τροφῆς εἰσιούσης εἰς γρ. λεγόμενον τοὺς δεκτικοὺς τόπους, γίνεται ἡ ἀναθυμίασις εἰς τὰς φλέβας· ἐκεῖ δὲ μεταβάλλουσα ἐξαιματοῦται, καὶ πορεύεται ἐπὶ τὴν ἀρχήν. εἴρηται δὲ περὶ τούτων ἐν τοῖς περὶ τροφῆς. νῦν δὲ ἀναληπτέον
D ὑπὲρ αὐτῶν, τούτου χάριν, ὅπως τὰς ἀρχὰς τῆς κινήσεως θεωρήσωμεν· καὶ τί πάσχοντος τοῦ μορίου τοῦ αἰσθητικοῦ, συμβαίνῃ ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος· οὐ γάρ ἐστιν ὁ ὕπνος ἡτισοῦν ἀδυναμία τοῦ αἰσθητικοῦ, καθάπερ εἴρηται· καὶ γὰρ * ἔννοια καὶ γρ. ἔκπνοια πνιγμός τις, καὶ λειποψυχία, ποιεῖ τὴν τοιαύτην ἀδυναμίαν. ἤδη δὲ γεγένηταί τισι καὶ φαντασία λειποψυχήσασιν ἰσχυρῶς. τοῦτο μὲν οὖν ἔχει τινὰ ἀπορίαν· εἰ γὰρ ἐνδέχεται καταδαρθεῖν τὸν λειποψυχήσαντα, ἐνδέχοιτ' ἂν ἐνύπνιον εἶναι
E καὶ τὸ φάντασμα. πολλὰ δέ ἐστιν, ἃ λέγουσιν οἱ σφόδρα λειποψυχήσαντες, καὶ δόξαντες τεθνάναι· περὶ ὧν τὸν αὐτὸν λόγον ὑποληπτέον εἶναι πάντων. ἀλλὰ γάρ, ὥσπερ εἴπομεν, οὐκ ἔστιν ὁ ὕπνος ἀδυναμία πᾶσα τοῦ αἰσθητικοῦ, ἀλλ' ἐκ τῆς περὶ τὴν τροφὴν ἀναθυμιάσεως γίνεται τὸ πάθος τοῦτο· ἀναγκαῖον γὰρ τὸ ἀναθυμιώμενον, μέχρι του ὠθεῖσθαι, εἶτ' ἀντιστρέφειν, καὶ μεταβάλλειν, καθάπερ εὔριπον. τὸ δὲ θερμὸν ἑκάστου τῶν ζῴων πρὸς τὸ ἄνω πέφυκε φέ-

A ρέσθαι. ὅταν δ' ἐν τοῖς ἄνω τόποις γένηται, ἀθρόον πάλιν ἀντιστρέφει, καὶ * καταφέρεται. [γρ. μεταφέρεται.] διὸ μάλιστα γίνονται ὕπνοι ἀπὸ τῆς τροφῆς· ἀθρόον γὰρ πολὺ τότε ὑγρὸν καὶ σωματῶδες ἀναφέρεται. ἱστάμενον μὲν οὖν βαρύνει καὶ ποιεῖ νυστάζειν· ὅταν δὲ ῥέψῃ κάτω, καὶ ἀντιστρέψαν ἀπώσῃ τὸ θερμὸν, τότε [γρ. ἀποστρέψαν] γίνεται ὁ ὕπνος, καὶ τὸ ζῶον καθεύδει. σημεῖον δὲ τούτων καὶ τὰ ὑπνωτικά· πάντα γὰρ * καρηβαρίαν ποιεῖ, [γρ. καρηβαρεῖν] καὶ τὰ ποτὰ, καὶ τὰ * βρωτὰ, [γρ. βρώματα,] μήκων, μανδραγόρας, οἶνος, αἶραι. B καὶ καταφερόμενοι καὶ νυστάζοντες τοῦτο δοκοῦσι πάσχειν, καὶ ἀδυνατοῦσιν αἴρειν τὴν κεφαλὴν, καὶ τὰ βλέφαρα· καὶ μετὰ τὰ σιτία μάλιστα τοιοῦτος ὁ ὕπνος· πολλὴ γὰρ * ἡ ἀπὸ τῶν σιτίων ἀναθυμίασις. [γρ. κάτω τ.] ἔτι δὲ καὶ ἐκ κόπων ἐνίων· ὁ μὲν γὰρ κόπος, συντηκτικόν· τὸ δὲ σύντηγμα γίνεται, ὥσπερ τροφὴ ἄπεπτος, ἂν μὴ ψυχρὸν ᾖ. καὶ νόσοι δέ τινες τὸ αὐτὸ τοῦτο ποιοῦσιν, ὅσαι ἀπὸ περιττώματος ὑγροῦ καὶ θερμοῦ, οἷον συμβαίνει τοῖς πυρέττουσι, καὶ ἐν τοῖς ληθάρ- C γοις. ἔτι δ' ἡ πρώτη ἡλικία· τὰ γὰρ παιδία καθεύδει σφόδρα, διὰ τὸ τὴν τροφὴν ἄνω φέρεσθαι πᾶσαν. σημεῖον δὲ, τὸ ὑπερβάλλειν τὸ μέγεθος τῶν ἄνω πρὸς τὰ κάτω κατὰ τὴν πρώτην ἡλικίαν, διὰ τὸ ἐπὶ ταῦτα γίνεσθαι τὴν αὔξησιν. διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ ἐπιληπτικὰ γίνεται· ὅμοιον γὰρ ὁ ὕπνος ἐπιλήψει, καὶ ἔστι τρόπον τινὰ ὁ ὕπνος ἐπίληψις· διὸ καὶ συμβαίνει πολλοῖς ἡ ἀρχὴ τούτου τοῦ πάθους, καθεύδουσι· καὶ καθεύδοντες D μὲν ἁλίσκονται, ἐγρηγορότες δ' οὔ· ὅταν γὰρ πολὺ φέρηται τὸ πνεῦμα ἄνω καὶ καταβαῖνον πάλιν, τὰς φλέβας ὀγκοῖ, αἷς συνθλίβει τὸν πόρον, δι' οὗ ἡ ἀναπνοὴ γίνεται. διὸ τοῖς παιδίοις οὐ συμφέρουσιν οἱ οἶνοι, οὐδὲ ταῖς τίτθαις· διαφέρει γὰρ ἴσως οὐδὲν αὐτὰ πίνειν, ἢ τὰς τίτθας· ἀλλὰ δεῖ πίνειν ὑδαρῆ, καὶ ὀλίγον· πνευματώδης γὰρ ὁ οἶνος· καὶ τούτου μᾶλλον ὁ μέλας. οὕτω δὲ τὰ ἄνω πλήρη τῆς E τροφῆς τοῖς παιδίοις, ὥστε πέντε μηνῶν οὐδὲ στρέφουσι * τὸν αὐτὸν αὐχένα· [γρ. τοὺς αὐχένας.] ὥσπερ γὰρ τοῖς σφόδρα μεθύουσιν, ὑγρότης ἀναφέρεται πολλή. εὔλογον δὲ τοῦτ' εἶναι τὸ πάθος αἴτιον, καὶ τοῦ ἠρεμεῖν ἐν ταῖς μήτραις τὰ ἔμβρυα τὸ πρῶτον. καὶ τὸ ὅλον δὲ φίλυπνοι οἱ ἀδηλόφλεβοι καὶ νανώδεις, καὶ μεγαλοκέφαλοι· τῶν μὲν γὰρ αἱ φλέβες στεναὶ, ὥστ' οὐ ῥᾴδιον * καταρρεῖν [γρ. διαρρεῖν] κατιὸν τὸ ὑγρόν. τοῖς δὲ νανώδεσι καὶ μεγαλοκεφάλοις ἡ ἄνω ὁρμὴ πολλὴ καὶ ἀναθυμίασις.

at vbi eò loci subuectum est, mox vniuersum reciprocat ac descendit. Quamobrem somnus maximè post cibum fieri solet. tunc enim copiosus humor & corpulentus sursum commeat. Qui cùm consistit, caput aggrauat, & addormiscere facit. cùm verò iam descendit, & & reciprocando calorem repulit; tum somno sepultum iacet, dormitque animal. Hæc autem vel somnifica ipsa indicant. omnia enim, siue poculenta sint, siue esculenta, grauedinem capiti adferunt: vt papauer, mandragoras, temetum, lolium. Ad hunc item modum affecti videntur, qui soporantur, dormitántque: quia nec caput erigere, nec palpebras attollere queunt. Et maximè à cibis somnus talis extat: tunc enim multa exhalatio confit: præterea à fatigationibus nonnullis: nam fatigatio colliquandi vim obtinet. colliquamentum autem, vicem incocti alimenti, nisi frigidum sit, præstare solet. Quidam enim morbi hoc idem faciunt qui ab humido & calido excremento proueniunt: quemadmodum in febre & lethargo euenit. Item prima ætas. nam pueri alto sopore premuntur: quia alimentum omne sursum respirat. Cuius rei signum est, quòd per id ætatis, superiora proportione inferiorum maxima sunt, quia incrementum illò contendat. Nec alia de causa morbo comitiali obnoxij sunt. is enim morbus persimilis somno est. Et iccirco huiusce pestis exordium, plerisque per quietem accidit. qui postea dum dormiunt, ea corripi solent: dum vigilant, non solent. Cùm enim larga spiritus copia in sublime effertur, vbi sursum descendit, venas extumefacit & inflat, quibus meatum spirabilem comprimit atque intercludit. Hinc vinum pueris vtile non est, nec etiam nutricibus: (nihil enim fortè interest, nutrices an pueri ebibant) nisi dilutum & modicum hauriatur. nam vinum spiritosum est, præsertim atrum. Et vsque adeò superiora pueri plena cibo continent, vt quinque mensium spatio collum obuertere nequeant. quippe cùm illis, haud secus quàm ebriis, multus vapor sursum ad caput feratur. Quam affectionem, causam esse cur initiis fœtus intra matris vterum quiescant, rationi consonum est. Atque in totum somniculosi sunt, qui conditas venas habent, & qui forma pumilionis, & capite prægrandi sunt. Nam ij quorum conditæ sunt venæ, eas graciles & angustas habent, adeò vt humor ægrè decidat & refluat: pumiliones verò, & quorum vasta sunt capita, multam diuaporationem atque effluentiam, quæ ad parteis superas viam capessit.

Atqui

At qui venas gerunt editas, propter amplitudinem & latitudinem meatuum, somnolenti non sunt, nisi quam aliam contrariam ebiberint affectionem. Neque item melancholici. nam locus interior refrigeratus est. Quare in eis euaporatio multa non fit: ob idque edaci auiditate laborant, cùm sint aridi. nam eorum corpora ita affecta sunt, quasi re nulla fruantur. Porro bilis atra quæ naturaliter frigida est, altricem officinam refrigerat, & alias parteis in quibus recrementum hoc potentia inest. Quare ex iis quæ dicta sunt, apertum est, somnum esse coitum quendam caloris ad intima refugientis, & naturalem antiperistasin circũobsistentiamque, propter eam quam diximus causam. Quocirca qui somno premitur, in motu & agitatu vario est. Vnde & deficit, & refrigeratur: atque ob frigus palpebræ decidunt: quinetiam partes superiores & extimæ frigent: contrà inferiores & intimæ, vt pedes & quæ intrinsecus continentur, incalescũt. Quãquam cur ita, dubitabit aliquis, quòd à cibo profundissimus somnus obrepat, & vina soporifera sint, & cætera quibus consimilis caliditas adest. nec rationi consonum esse videatur, vt somnus refrigeratio sit, & causæ somni calidæ. Vtrùm igitur hoc eo accidit, quòd quemadmodum venter inanis calidus est, sed cùm oppletur, motionis ratione refrigescit: ita meatus & loci in capite positi, euaporamento commeante refrigerantur? An quemadmodum aqua calida perfusi, repentè inhorrescimus: ita illic frigus ascendente calore collectum, parteis eas refrigerat, & calorem naturalem debilitat, ac subterfugere cogit? Præterea an quemadmodum congestu lignorum ignis restinguitur: ita multa alimonia, quam calor subuehit, superioribus se immiscente, calor naturalis clanguescit, donec vtique illa cõcocta perfectáque sit? Fit enim somnus, sicuti dictum iam est, corpulento quopiam vi caloris in sublime per venas euecto: quod cùm diutius eò loci persistere non potest, sed copia exuperante aggrauatur; rursum depelli, & ad ima fluere solet. quapropter & ipsi homines corruũt, (animalium enim homo vnus erectus est) calore, qui eleuandi munere fungebatur, subtracto. atque simul ac cor incidit, mentem aufert, deinde imaginationes & visa suggerit. An solutiones, quas modò dixi, causas continent, propter quas refrigeratio fieri possit, sed tamẽ locus ille, qui circiter cerebrum habetur in ea re committenda principatum obtinet, vti alio loco diximus? Nam cerebrum, partiũ omnium corporis frigidissimum est: in iis verò quæ carent cerebro, id quod vicem eius tenet. Quemadmodum igitur cùm humor exhalat, & calore solis in sublime fertur,

A οἱ δὲ φλεβώδεις οὐχ ὑπνωτικοὶ διὰ τὴν εὐρύτητα τῶν * φλεβῶν, ἂν μή τι ἄλλο πάθος ἔχωσιν ὑπεναντίον. οὐδ᾽ οἱ μελαγχολικοί· κατέψυκται γὰρ ὁ εἴσω τόπος. ὥστ᾽ οὐ γίνεται αὐτοῖς πλῆθος ἀναθυμιάσεως. διὰ τοῦτο γὰρ καὶ βρωτικοὶ σκληροὶ ὄντες· ὥσπερ γὰρ οὐδὲν ἀπολελαυκότα διάκειται τὰ σώματα * αὐτοῖς. ἡ δὲ μέλαινα χολὴ φύσει ψυχρὰ οὖσα, καὶ τὸν θρεπτικὸν τόπον ψυχρὸν ποιεῖ, καὶ τὰ ἄλλα μόρια, ὅπου ἂν ὑπάρχῃ δυνάμει τὸ τοιοῦτον
B περίττωμα. ὥστε φανερὸν ἐκ τῶν εἰρημένων, ὅτι ὁ ὕπνος ἐστὶ σύνοδός τις τοῦ θερμοῦ εἴσω, καὶ ἀντιπερίστασις φυσικὴ διὰ τὴν εἰρημένην αἰτίαν. διὸ πολλὴ κίνησις τοῦ * ὑπνοῦντος. ὅθεν δὲ ἐκλείπει, καταψύχεται, καὶ διὰ ψύξιν καταπίπτει τὰ βλέφαρα. καὶ τὰ μὲν ἄνω κατέψυκται, καὶ τὰ ἔξω· τὰ δ᾽ ἐντὸς καὶ τὰ κάτω, θερμά, οἷον τὰ περὶ πόδας, καὶ τὰ εἴσω. καίτοι τις ἀπορήσειεν ἄν, ὅτι μετὰ τὰ σιτία ἰσχυρότατος ὁ ὕπνος γίνεται; καὶ ἔστιν ὑπνω-
C τικὸν ὁ οἶνος; καὶ ἄλλα * θερμότητα ἔχοντα τοιαῦτα. ἔστι δ᾽ οὐκ εὔλογον, τὸν μὲν ὕπνον εἶναι κατάψυξιν, τὰ δ᾽ αἴτια τοῦ καθεύδειν, θερμά. πότερον οὖν τοῦτο συμβαίνει; ὅτι ὥσπερ ἡ κοιλία κενὴ μὲν οὖσα, θερμή ἐστιν· ἡ δὲ πλήρωσις αὐτὴν καταψύχει διὰ τὴν κίνησιν· οὕτω καὶ οἱ ἐν τῇ κεφαλῇ πόροι, καὶ τόποι, καταψύχονται ἀναφερομένης τῆς ἀναθυμιάσεως; ἢ ὥσπερ τοῖς προσχεομένοις τὸ θερμὸν ἐξαίφνης φρίκη γίνεται· κἀκεῖ ἀνιόντος τοῦ θερμοῦ, ἀθροιζόμενον τὸ ψυχρὸν καταψύχει, καὶ τὸ κατὰ φύσιν
D θερμὸν ποιεῖ ἐξαδυνατεῖν καὶ ὑποχωρεῖν; ἔτι δὲ πολλῆς ἐμπιπτούσης τροφῆς, ἣν ἀνάγει τὸ θερμόν, ὥσπερ τὸ πῦρ καταψύχεται ἐπιτιθεμένων τῶν ξύλων, ἕως ἂν καταπεφθῇ. γίνεται γὰρ ὁ ὕπνος, ὥσπερ εἴρηται, ἀναφερομένου τοῦ σωματώδους ὑπὸ τοῦ θερμοῦ διὰ τῶν φλεβῶν πρὸς τὴν κεφαλήν. ὅταν δὲ μηκέτι δύνηται, ἀλλὰ τῷ πλήθει ὑπερβάλλῃ τὸ ἀναχθέν, πάλιν ἀνταπωθεῖται, καὶ κάτω ῥεῖ. διὸ καταπίπτουσί τε
E ὑποσπωμένου * τοῦ ἀνάγοντος θερμοῦ, οἱ ἄνθρωποι· (μόνον γὰρ ὀρθὸν * τῶν ζώων,) καὶ ἐπιπεσὸν μὲν, ἔκνοιαν ποιεῖ· ὕστερον δὲ φαντασίαν. ἢ αἱ μὲν νῦν λεγόμεναι λύσεις, ἐνδεχόμεναι μέν εἰσι τοῦ γίνεσθαι τὴν κατάψυξιν οὐ μὴν ἀλλὰ * κύριός γ᾽ ἐστὶν ὁ τόπος ὁ περὶ τὸν ἐγκέφαλον, ὥσπερ ἐν ἄλλοις εἴρηται. πάντων δέ ἐστι τῶν ἐν τῷ σώματι ψυχρότατον ὁ ἐγκέφαλος· τοῖς δὲ μὴ ἔχουσι, τὸ ἀνάλογον τούτῳ μόριον. ὥσπερ οὖν τὸ ἀτμίζον ὑγρὸν ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος,

ὅταν ἔλθῃ εἰς τὸν ἄνω τόπον διὰ τὴν ψυχρότητα αὐτοῦ καταψύχεται, καὶ συστὰν καταφέρεται γινόμενον πάλιν ὕδωρ· οὕτως ἐν τῇ ἀναφορᾷ τοῦ θερμοῦ τῇ πρὸς τὸν ἐγκέφαλον, ἡ μὲν περιττωματικὴ ἀναθυμίασις, εἰς φλέγμα * συνέρχεται. διὸ καὶ οἱ κατάρροι φαίνονται γιγνόμενοι ἐκ τῆς κεφαλῆς· ἡ δὲ τρόφιμος καὶ μὴ νοσώδης, καταφέρεται συνισταμένη, καὶ καταψύχει τὸ θερμόν. πρὸς δὲ τὸ καταψύχεσθαι, καὶ μὴ δέχεσθαι ῥαδίως τὴν ἀναθυμίασιν, συμβάλλεται καὶ ἡ λεπτότης καὶ ἡ στενότης τῶν περὶ τὸν ἐγκέφαλον φλεβῶν. τῆς μὲν οὖν καταψύξεως τοῦτ' ἐστὶν αἴτιον, καίπερ τῆς ἀναθυμιάσεως ὑπερβαλλούσης τῇ θερμότητι. ἐγείρεται δ', ὅταν πεφθῇ, καὶ κρατήσῃ ἡ συνεωσμένη θερμότης ἐν ὀλίγῳ πολλὴ ἐκ τοῦ περιεστῶτος· καὶ διακριθῇ, τό, τε * σωματωδέστατον αἷμα, καὶ τὸ καθαρώτατον. ἔστι δὲ λεπτότατον μὲν αἷμα καὶ καθαρώτατον τὸ ἐν τῇ κεφαλῇ· παχύτατον δὲ καὶ θολερώτατον, τὸ ἐν τοῖς κάτω μέρεσι. παντὸς δὲ τοῦ αἵματος ἀρχή, ὥσπερ εἴρηται καὶ ἐνταῦθα, καὶ ἐν ἄλλοις, ἡ καρδία. τῶν δ' ἐν τῇ καρδίᾳ, ἑκατέρας τῆς θαλάμης κοινὴ ἡ μέση· ἐκείνων δ' ἑκατέρα δέχεται ἐξ ἑκατέρας τῆς φλεβὸς τῆς τε μεγάλης καλουμένης, καὶ τῆς ἀορτῆς. ἐν δὲ τῇ μέσῃ, γίνεται ἡ διάκρισις. ἀλλὰ τὸ μὲν διορίζειν περὶ τούτων, ἑτέρων ἐστὶ λόγων οἰκειότερον. διὰ δὲ τὸ γίνεσθαι τὸ αἷμα μάλιστα μετὰ τὴν τῆς τροφῆς προσφορὰν ἀδιακριτώτερον, ὁ ὕπνος γίνεται, ἕως ἂν διακριθῇ τοῦ αἵματος, τὸ μὲν καθαρώτατον εἰς τὰ ἄνω, τὸ δὲ θολερώτατον εἰς τὰ κάτω· ὅταν δὲ τοῦτο συμβῇ, ἐγείρονται ἀπολυθέντα τοῦ ἐκ τῆς τροφῆς βάρους. τί μὲν οὖν τὸ αἴτιον τοῦ καθεύδειν, εἴρηται. ὅτι ἡ ὑπὸ τοῦ σωματώδους τοῦ ἀναφερομένου ὑπὸ τοῦ συμφύτου θερμοῦ ἀντιπερίστασις ἀθρόως ἐπὶ τὸ πρῶτον αἰσθητήριον· καὶ τί ἐστιν ὕπνος, καὶ ὅτι τοῦ πρώτου αἰσθητηρίου κατάληψις πρὸς τὸ μὴ δύνασθαι ἐνεργεῖν, ἐξ ἀνάγκης μὲν γινόμενον· (οὐ γὰρ ἐνδέχεται ζῷον εἶναι, μὴ συμβαινόντων τῶν ἀπεργαζομένων αὐτό·) ἕνεκα δὲ σωτηρίας· σώζει γὰρ ἡ ἀνάπαυσις.

A vbi supernum aëris locum subierit, prę rigore loci refrigeratus consistit, ac denuò in aquam conuersus in terram defluit: ita cùm calor ad cerebrum eleuatur, excrementitia diuaporatio in pituitam & saniem concrescit, (quamobrem & fluxiones ex capite oriri videmus,) alimentaria & non morbida consistit descenditque, & feruorem cordis delapsa refrigerat atque moderatur. Ad refrigerationem verò & difficilem susceptionem euaporationis, gracili- B tas & angustia venarum cōducit, quæ circa cerebrum sunt. Hæc igitur causa est cur euaporatio etiam si immodicè caleat, refrigeretur. Expergiscitur animal, quando absoluta concoctio est, & calor qui ambientis frigoris opera ex amplo in arctum coierit, euicit, atque sanguinem feculentum à sincero discernit. Est autem tenuissimus & purissimus sanguis, qui in capite continetur: contrà crassissimus & turbidissimus, qui partibus committitur inferioribus. Omnis autem sanguinis origo, cor est: C quemadmodum tum hîc tum alibi diximus. Ex tribus porro ventriculis qui habentur in corde, is qui in medio est, vtrique extremo communis existit, atque extremi specus, sanguinem ab vtraque vena, maiore & aorta, recipiunt: in medio autem sinu, discriminatio illius fit. Sed de his aptiùs alio loco definitur, atque determinatur. Quoniam autem sanguis maximè post ingestos cibos indiscretus fit, tum somnus obrepit, & tamdiu edurat quoad sanguis purus ad parteis superas, turbulentus ad inferas sequestratus delegatúsq; D sit: quo facto animantes ab onere cibi absolutæ, excitantur. Dictum est quæ causa dormiendi sit. insiti scilicet corporis vniuersim ad primum sensorium confugientis antiperistasis, quæ corpulenti vaporis à natiuo calore subuecti opera prouenit: tum etiam quid sit somnus, nempe nexus & vinculum primi sensorij, vt suo fungi munere non possit. Id quod necessariò quidem fit, (nam animal esse non potest, nisi ea contingāt, quibus ipsum perficiatur) at salutis gratia, quoniam quies animal tuetur atque conseruat.

E

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ,

## ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

# ARISTOTELIS

## STAGIRITÆ, DE INSOMNIIS, LIBER.

Francisco Vatablo Interprete.

### CAPVT I.

*Cuinam animæ parti asciscendum insomnium.*

POst hæc de insomniis quærendum est: ac primò quidem, qua vi animæ percipiantur: & vtrùm hæc affectio mentis ac intellectus, an sensus sit. his enim viribus vnis earum quæ in nobis sunt cognitionem rerum notitiámque assequimur. Ergo si functio aspectus visio est, & auditus auditio, & omnino sensus sensio: communia autem sensilia sunt figura, motus, magnitudo, & cætera id genus, propria verò color, sonus, & sapor: nec fieri potest vt vllum animal clausis oculis dormiénsque cernat, aut alio sensu percipiat: nos in somno nihil sentire certum est. Vnde fit, vt insomnia nullo sensu noscantur. Sed neque opinione comprehendi illa possint. nam in somno non equum modò & hominem esse id quod ad nos accedit, pronuntiamus, sed etiam album & pulchrum: quorum nullum opinio absque sensu nec verè nec falso dixerit. At animam hoc idem facere contingit. ex æquo enim hominem & album eum esse qui occurrit, discernere videmur. Ad hæc, præter insomnia, aliud quiddam intelligere solemus. Quemadmodum enim vigilando sentientes aliquid, plerumque etiam aliud de re quæ sensum ferit, consideramus, ita dormiendo, præter visa, interdum alia quædam mens nostra cogitat. Quod facilè patebit, si quis mentem ad somnia conuertat, & recurrere ea quoties exurgit, enitatur.

A

### ΚΕΦΑΛ. α΄.

*Ὅτι τὰ ἐνύπνια οὐκ ἔστι πάθος τοῦ αἰσθητικοῦ μέρους, ἁπλῶς, οὐδὲ τοῦ νοητικοῦ, ἀλλὰ τοῦ αἰσθητικοῦ ᾗ φανταστικόν ἐστι.*

ΜΕΤΑ δὲ ταῦτα, περὶ ἐνυπνίου ἐπιζητητέον, καὶ πρῶτον τίνι τῶν τῆς ψυχῆς φαίνεται· καὶ πότερον τοῦ νοητικοῦ τὸ πάθος ἐστὶ τοῦτο, ἢ τοῦ αἰσθητικοῦ· τούτοις γὰρ μόνον τῶν ἐν
B ἡμῖν γνωρίζομέν τι. εἰ δὲ χρῆσις ὄψεως, ὅρασις· καὶ ἀκοῆς τὸ ἀκούειν. καὶ ὅλως αἰσθήσεως τὸ αἰσθάνεσθαι· κοινὰ δ' ἐστὶ τῶν αἰσθήσεων, οἷον σχῆμα, καὶ κίνησις, καὶ μέγεθος, καὶ τἄλλα τὰ τοιαῦτα· ἴδια δέ, οἷον χρῶμα, ψόφος, χυμός· ἀδυνατεῖ δὲ πάντα μύοντα καὶ καθεύδοντα ὁρᾶν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν· ὥστε δηλονότι καὶ οὐκ αἰσθανόμεθα οὐδὲν ἐν τοῖς ὕπνοις. οὐκ ἄρα γε τῇ αἰσθήσει τὸ ἐνύπνιον αἰσθανόμεθα. ἀλλὰ μὴν οὐδὲ τῇ δόξῃ· οὐ γὰρ μόνον τὸ προσιόν φαμεν ἄνθρωπον ἢ ἵππον
C εἶναι, ἀλλὰ καὶ λευκὸν ἢ καλόν· ὧν ἡ δόξα ἄνευ αἰσθήσεως, οὐδὲν ἂν φήσειεν, οὔτ' ἀληθῶς, οὔτε ψευδῶς· ἐν δὲ τοῖς ὕπνοις συμβαίνει τὴν ψυχὴν τοῦτο ποιεῖν. ὁμοίως γὰρ ὅτι ἄνθρωπος, καὶ ὅτι λευκὸς ὁ προσιών, δοκοῦμεν ὁρᾶν. ἔτι παρὰ τὸ ἐνύπνιον ἐννοοῦμεν ἄλλο τι, καθάπερ ἐν τῷ ἐγρηγορέναι αἰσθανόμενοί τι· περὶ οὗ γὰρ αἰσθανόμεθα, πολλάκις καὶ διανοούμεθά τι. οὕτω καὶ ἐν τοῖς ὕπνοις παρὰ τὰ φαντάσματα, ἐνίοτε ἄλλα ἐννοοῦμεν. φανείη δ' ἂν τῳ τοῦτο, εἴ τις προσέχοι τὸν νοῦν, καὶ πειρῷτο μνημονεύειν ἀναστάς.

A ἤδη δέ τινες καὶ ἑωράκασιν ἐνύπνια τοιαῦτα, οἷον οἱ δοκοῦντες κατὰ τὸ μνημονικὸν παράγγελμα τίθεσθαι τὰ προβαλλόμενα· συμβαίνει γὰρ αὐτοῖς πολλάκις, ἄλλο τι παρὰ τὸ ἐνύπνιον τίθεσθαι πρὸ ὀμμάτων εἰς τὸν τόπον φάντασμα. ὥστε δῆλον ὅτι οὔτε ἐνύπνιον πᾶν τὸ ἐν ὕπνῳ φάντασμα, καὶ ὅτι ὃ ἐννοοῦμεν, τῇ δόξῃ δοξάζομεν. δῆλον δὲ περὶ τούτων ἁπάντων [εἰς] τοσοῦτον, ὅτι τὸ αὐτὸ ᾧ καὶ ἐγρηγορότες ἐν ταῖς νόσοις ἀπατώμεθα· ὅτι τοῦτ' αὐτὸ καὶ ἐν τῷ ὕπνῳ ποιεῖ τὸ πάθος· καὶ ὑγιαίνουσι δὲ καὶ εἰδόσιν, ὅμως ὁ ἥλιος ποδιαῖος B εἶναι δοκεῖ· * ἀλλ' εἴτε τὸ αὐτό, εἴθ' ἕτερον τὸ φανταστικὸν τῆς ψυχῆς καὶ τὸ αἰσθητικόν, οὐδὲν ἧττον οὐ γίνεται ἄνευ τοῦ ὁρᾶν καὶ αἰσθάνεσθαί τι· τὸ γὰρ παρορᾶν καὶ παρακούειν, ὁρῶντος ἀληθές τι καὶ ἀκούοντος· οὐ τοῦτο δὲ ὃ οἴεται. ἐν δὲ τῷ ὕπνῳ ὑπόκειται μηδὲν ὁρᾶν, μηδ' ἀκούειν, μηδ' ὅλως αἰσθάνεσθαι. ἆρ' οὖν τὸ μὲν μηδὲν ὁρᾶν ἀληθές· τὸ δὲ μηδὲν πάσχειν τὴν αἴσθησιν, οὐκ ἀληθές. ἀλλ' C ἐνδέχεται καὶ τὴν ὄψιν πάσχειν τι, καὶ τὰς ἄλλας αἰσθήσεις; ἕκαστον δὲ τούτων, ὥσπερ ἐγρηγορότος προσβάλλει μέν πως τῇ αἰσθήσει· οὐχ οὕτω δὲ ὥσπερ ἐγρηγορότος. καὶ ὁτὲ μὲν ἡ δόξα λέγει ὅτι ψεῦδος τὸ ὁρώμενον, ὥσπερ * ἐγρηγορέσι· ὁτὲ δὲ κατέχεται καὶ ἀκολουθεῖ τῷ φαντάσματι. ὅτι μὲν οὖν οὐκ ἔστι τοῦ δοξάζοντος, οὐδὲ τοῦ διανοουμένου τὸ πάθος τοῦτο, ὃ καλοῦμεν ἐνυπνιάζειν, φανερόν. ἀλλ' οὐδὲ τοῦ αἰσθανομένου ἁπλῶς· ὁρᾶν γὰρ D ἂν [ἦν] καὶ ἀκούειν ἁπλῶς. ἀλλὰ πῶς * δεῖ καὶ τίνα τρόπον, ἐπισκεπτέον. ὑποκείσθω μὲν οὖν ὅπερ ἐστὶ καὶ φανερόν, ὅτι τοῦ αἰσθητικοῦ τὸ πάθος, εἴπερ καὶ ὁ ὕπνος· οὐ γὰρ ἄλλῳ μὲν τινὶ τῶν ζώων ὑπάρχει ὁ ὕπνος, ἄλλῳ δὲ τὸ ἐνυπνιάζειν, ἀλλὰ τῷ αὐτῷ. ἐπεὶ δὲ περὶ φαντασίας ἐν τοῖς περὶ ψυχῆς εἴρηται, καὶ ἔστι μὲν τὸ αὐτὸ τῷ αἰσθητικῷ τὸ φανταστικόν· τὸ δ' εἶναι φανταστικῷ καὶ αἰσθητικῷ ἕτερον· ἔστι δὲ φαντασία, ἡ ὑπὸ τῆς κατ' ἐνέργειαν E αἰσθήσεως γινομένη κίνησις· τὸ δ' ἐνύπνιον φάντασμά τι φαίνεται εἶναι· τὸ γὰρ ἐν ὕπνῳ φάντασμα, ἐνύπνιον λέγομεν, εἴθ' ἁπλῶς, εἴτε τρόπον τινὰ γινόμενον· φανερὸν ὅτι τοῦ αἰσθητικοῦ μέν ἐστι τὸ ἐνυπνιάζειν· τούτου δ' ᾗ τὸ φανταστικόν.

γρ. εἴτε δὴ ταὐτὸν εἴθ' ἕτερον

For. ἐγρηγορόσι, vt modò, nisi ἀπλῶς dictũ velit.

γρ. δὴ

A Immò iam quidam insomnia experti sunt eiusmodi: nimirum qui præceptionem colendæ memoriæ sequentes, pronuntiata quibusdam locis constituere sibi videbantur: eis enim sæpenumero accidit, vt aliud quiddam præter somnium, nempe visum phantasmáque aliquod, in comparato dispositóque loco ante conspectum collocarent. Vnde liquere arbitror, non quicquid in somno videmus, insomnium esse: & nos intelligere, quæ opinione opinamur. Porro de his omnibus illud con-B stat, hoc idem quo ægri in vigilia fallimur, facere vti in somno decipiamur. Sed & nobis quamquam sani sumus, atque adeo videntes, tamen sol pedaneus esse videtur. Cæterùm siue imaginandi vis animæ eadem ad numerum cum sensoria sit, siue diuersa habeatur, nihilominus hoc sine visione aut sensione aliqua non fit. nam hallucinari & obaudire dicitur, qui verum quidem aliquid videt & audit, non tamen, id quod se videre & audire putat. At in somno positum est, neque videri quicquam, neque audiri, neque omnino sentiri. C Num igitur quamuis nihil tunc cerni atque sentiri verum sit, tamen nullo modo sensum affici verum non est: sed & visum & cæteros sensus pati aliquid contingit? Nam singuli horum, in somno principem sensum haud magnopere secius atque in vigilia, non sic autem vt in illa formis sensilibus appetunt, feriunt, lacessunt. Quinetiam interdum opinio ipsa, quæ visa sunt, ea falsa esse, vt in vigilia, dicit: interdum obligatur, & spectra quasi vera sint, prosequi assolet. Constat igitur, hanc affectio-D nem quam somniare dicimus, neque ad opinantem, neque ad intelligentem pertinere. Sed ne ad sentientem quidem simpliciter. nam alioqui videre simpliciter & audire esset. Cæterùm quomodo & qualiter ad istum referri queat, considerandum est. Ponamus igitur, id quod etiam clarissimum est, insomnium sensoriæ partis affectionem esse. nam & somnus ad eandem pertinet. nec enim animantium alteri somnus, insomnium alteri, sed eidem vtrumque competit. Cùm verò de imaginatione & phantasia tractatum in li-E bris de Anima sit, & imaginandi vis eadem numero sit cum potentia sentiendi, quamuis essentia rationéque differant, imaginatio autem sit motio à sensu, actu prouueniens, insomnium verò spectrum quoddam & phantasma esse videatur, (nam visum ipsum quod in somno apparet, insomnium dicimus, siue illud simpliciter, siue quodammodo contingat,) palam vtique est, insomnia sensoriæ partis esse, sed quatenus imaginaria est.

A

## CAPVT II.

*Vt doceat quid sit insomnium & quomodo fiant insomnia, hypotheses quasdam priùs ponit ac pluribus explicat, quas mox ad institutam quæstionem accommodabit.*

QVid autem sit insomnium, & qua ratione fiat, ex iis maximè cognosci potest, quæ in somno accidunt. Etenim sensilia ipsa in nobis, per singula sensoria sensionem efficiunt: & affectio quam ea inuehunt, non modò in sensoriis inest, cùm sensus agunt, sed etiam cùm ab opera discessere. nam perinde hîc, atque in iis quæ lationem subeunt, euenire videtur. etenim quæ lationem subeunt, eo quod propulit, non ampliùs tangente, cientur. quod enim mouendi officio functum est, quandam aëris particulam propulit: quæ cùm mouetur, subinde aliam ciet. atque hoc vtique pacto, donec quiescant, moueri aër & aqua solent. Consimiliter & hoc quoque in alteratione fieri putandum est. illud enim quod calentis rei opera incaluit, quod sibi vicinum est, calefacit: penetrátque successio hæc ad id vsque quod primum calefieri potest. Quare & ei cui sentiendi facultas cõmissa est, hoc idem accidere necesse est: cùm sensum, qui in actu constitutus sit, alterationem esse quãdam constet. Quocirca affectio ipsa, in opificiis sensuum non modo sentientibus illis, sed etiam quiescentibus, tam per summa quàm in imo seruari solet: id quod quoties continenter quippiam sentimus, liquidò percipi potest. Nam si sensum ipsum ab eo ad aliud, vt de sole in opacũ conuertamus, comitatur eũ affectio. euenit enim vt nihil cernat: propterea quòd cõmotio, quæ à lumine profecta est, oculos adhuc possideat. Item si quod albũ aut viride diutius aspexerimus, ad quodcumque aspectũ nostrum deflectamus, concolor illi videtur. Sed & si oculos contra solem, aut aliquid aliud quod fulgeat, intenderimus, deinde conniueamus: per rectam lineam qua aspectum cernere contingit, primùm tale obseruantibus apparet, quale reuera est: tum se in puniceum conuertit, proximè in purpureum, donec ad atrum perueniat, exolescátque. Quinetiã si qui obtutus suos ab hisce quæ mouentur; vt ab amnibus, presertim ocyssimè labentibus, aliò transferant; quæ stant, moueri videntur. Iidem porrò ab ingentibus sonis surdastri redduntur, & ab odoribus vehementibus ægerrimè olfaciunt: atque ita in similibus statuendum est. Quæ omnia apertè hoc eueniũt modo.

## ΚΕΦΑΛ. β'.

Ὅτι τὰ ἐνύπνια ἐξ οἱουδήποτε γένους τῶν αἰσθητῶν ἐγγίνεται· καὶ ὅτι ταχὺ τὰ αἰσθητήρια καὶ μικρὰς διαφορὰς αἰσθάνεται· ὅτι ὅτι οὐ μόνον πάσχει ἡ ὄψις, ἀλλὰ καὶ ποιεῖ τι, καὶ ἔξω ἀφίησι. καὶ ὅτι ῥᾳδίως ἀπατώμεθα περὶ τὰς αἰσθήσεις ἐν τοῖς πάθεσιν ὄντος ψυχῆς τε καὶ σώματος.

TI δὲ ἐστὶ τὸ ἐνύπνιον, καὶ πῶς γίνεται, ἐκ τῶν περὶ τὸν ὕπνον συμβαινόντων μάλιστ' ἂν * θεωρήσαιμεν· (γρ. καθεύδομεν.) B τὰ γὰρ αἰσθητὰ καθ' ἕκαστον αἰσθητήριον, ἡμῖν ἐμποιοῦσιν αἴσθησιν· καὶ τὸ γινόμενον ὑπ' αὐτῶν πάθος, οὐ μόνον ἐνυπάρχει ἐν τοῖς αἰσθητηρίοις, ἐνεργουσῶν τῶν αἰσθήσεων, ἀλλὰ καὶ ἀπελθουσῶν· παραπλήσιον γὰρ τὸ πάθος ἐπί τε τούτων καὶ ἐπὶ τῶν * φερομένων ἔοικεν εἶναι. (γρ. ἐπιφερομ.) καὶ γὰρ ἐπὶ τῶν φερομένων τοῦ κινήσαντος οὐκέτι θιγγάνοντος κινεῖται· τὸ γὰρ κινῆσαν, ἐκίνησεν ἀέρα τινά, καὶ πάλιν οὗτος κινούμενος ἕτερον. καὶ τοῦτον δὴ τὸν τρόπον μέχρις ἂν οὗ στῇ, C ποιεῖται τὴν κίνησιν καὶ ἐν τοῖς ὑγροῖς. ὁμοίως δὲ ὑπολαβεῖν τοῦτο δεῖ καὶ ἐπὶ ἀλλοιώσεως. τὸ γὰρ θερμανθὲν ὑπὸ τοῦ θερμοῦ, τὸ πλησίον θερμαίνει, καὶ τοῦτο διαδίδωσιν ἕως τῆς ἀρχῆς. ὥστε καὶ ἐν ᾧ τὸ αἰσθάνεσθαι, ἐπειδὴ ἐστὶν ἀλλοίωσίς τις ἡ κατ' ἐνέργειαν αἴσθησις, ἀνάγκη τοῦτο συμβαίνειν. διὸ τὸ πάθος * ἐστὶν οὐ μόνον ἐν αἰσθανομένοις τοῖς αἰσθητηρίοις, ἀλλὰ καὶ ἐν πεπαυμένοις, καὶ ἐν βάθει, καὶ ἐπιπολῆς. (Vulgò, ἐστὶν ὁ ὕπνος οὐ μ. temerè in contextũ admissa, falsissima & ineptissima glossa. vide Them.) φανερὸν δὲ, ὅταν συνεχῶς D αἰσθανώμεθά τι· μεταφερόντων γὰρ τὴν αἴσθησιν, ἀκολουθεῖ τὸ πάθος, οἷον ἐκ τοῦ ἡλίου εἰς τὸ σκότος· συμβαίνει γὰρ μηδὲν ὁρᾶν, διὰ τὴν ἔτι ὑποῦσαν κίνησιν ἐν τοῖς ὄμμασιν ὑπὸ τοῦ φωτός. κἂν πρὸς [ἓν] χρῶμα πολὺν χρόνον * βλέψωμεν ἢ λευκὸν, ἢ χλωρὸν, τοιοῦτον φαίνεται * ἐφ' ὅπερ ἂν τὴν ὄψιν μεταβάλλωμεν· κἂν πρὸς τὸν ἥλιον * βλέψαντες, ἢ ἄλλο τι λαμπρὸν μύσωμεν, * παρατηρήσασι φαίνεται κατ' εὐθυωρείαν, ᾗ συμ- E βαίνει τὴν ὄψιν ὁρᾶν, πρῶτον μὲν τοιοῦτον τὴν χρόαν, εἶτα μεταβάλλει εἰς φοινικοῦν, κἄπειτα πορφυροῦν, ἕως ἂν εἰς τὴν μέλαιναν ἔλθῃ χρόαν, καὶ ἀφανισθῇ. * καὶ αἱ ἀπὸ τῶν κινουμένων δὲ, μεταβάλλουσιν, οἷον ἀπὸ τῶν ποταμῶν, μάλιστα δ' ἀπὸ τῶν τάχιστα ῥεόντων· φαίνεται γὰρ τὰ ἠρεμοῦντα κινούμενα. γίνονται δὲ καὶ ἀπὸ τῶν μεγάλων ψόφων δύσκωφοι· γίνονται καὶ ἀπὸ τῶν ἰσχυρῶν ὀσμῶν δύσοσμοι· καὶ ἐπὶ τῶν ὁμοίων. ταῦτα δὴ φανερῶς συμβαίνει τοῦτον τὸν τρόπον.

(γρ. ἀλλὰ καὶ πεπαυμένοι)
(γρ. βλέπωμεν)
(γρ. ἐφ' ᾧ ἂν τὴν ὄψ. μ. Them. ἐφ' ᾧ ἂν)
(γρ. βλέποντες,)
(γρ. παρατηρήσασιν)
(γρ. καὶ ἀπὸ τ. & Th. καὶ ἀπὸ τῶν κ. δὲ τὰ ὄμματα μεταβάλλει.)



BIBLIOTHECA DE PHILOS... N.º ........ COIMBRA

A ὅτι δὲ ταχὺ τὰ αἰσθητήρια, καὶ μικρᾶς διαφορᾶς αἰσθάνεται, σημεῖον τὸ ἐπὶ τῶν ἐνόπτρων γινόμενον· περὶ οὗ κἂν καθ' αὑτὸν ἐπισκήψας, σκέψαιτό τις ἂν καὶ διαπορήσειεν· ἅμα δ' ἐξ αὐτοῦ δῆλον, ὅτι ὥσπερ καὶ ἡ ὄψις πάσχει, οὕτω καὶ ποιεῖ τι. ἐν γὰρ τοῖς ἐνόπτροις τοῖς σφόδρα * καθαροῖς, ὅταν τῶν καταμηνίων ταῖς γυναιξὶ γινομένων, ἐμβλέψωσιν εἰς τὸ κάτοπτρον, γίνεται τὸ ἐπιπολῆς τοῦ ἐνόπτρου, οἷον νεφέλη αἱματώδης· κἂν μὲν καινὸν ᾖ τὸ κάτοπτρον, οὐ ῥᾴδιον ἐκμάξαι τὴν τοιαύτην κηλῖδα· ἐὰν δὲ παλαιόν, ῥᾷον. B αἴτιον δ', ὥσπερ εἴπομεν, ὅτι οὐ μόνον πάσχει τι ἡ ὄψις ὑπὸ τοῦ ἀέρος, ἀλλὰ καὶ ποιεῖ τι καὶ κινεῖ· ὥσπερ καὶ τὰ λαμπρά· καὶ γὰρ ἡ ὄψις τῶν λαμπρῶν, καὶ ἐχόντων χρῶμα. τὰ μὲν οὖν ὄμματα εὐλόγως, ὅταν ᾖ τὰ καταμήνια, διάκειται, ὥσπερ καὶ ἕτερον μέρος ὁτιοῦν [σώματος·] καὶ γὰρ φύσει τυγχάνουσι φλεβώδεις ὄντες. διὸ γινομένων τῶν καταμηνίων, C διὰ ταραχὴν καὶ φλεγμασίαν αἱματικήν, ἡμῖν μὲν ἡ ἐν τοῖς ὄμμασι διαφορὰ ἄδηλος. ἔνεστι δέ· ἡ γὰρ αὐτὴ φύσις σπέρματος καὶ καταμηνίων. ὁ δ' ἀὴρ κινεῖται ὑπ' αὐτῶν, καὶ τὸν ἀπὸ τῶν κατόπτρων ἀέρα συνεχῆ ὄντα, ποιόν τινα ποιεῖ, καὶ τὸ τοιοῦτον οἷον αὐτὸς πάσχει· ὁ δὲ τοῦ κατόπτρου τὴν ἐπιφάνειαν. ὥσπερ δὲ τῶν ἱματίων τὰ μάλιστα καθαρὰ τάχιστα κηλιδοῦται. τὸ γὰρ καθαρὸν ἀκριβῶς δηλοῖ ὅ, τι ἂν δέξηται· καὶ μάλιστα τὰς ἐλαχίστας κινήσεις. ὁ δὲ χαλκός, διὰ μὲν τὸ D λεῖος εἶναι ὁποιασοῦν ἁφῆς αἰσθάνεται μάλιστα. δεῖ δὲ νοῆσαι οἷον τρῖψιν οὖσαν τὴν τοῦ ἀέρος ἁφήν, καὶ ὥσπερ ἔκμαξιν καὶ ἀπόπλυσιν. διὰ δὲ τὸ καθαρόν, ἔνδηλος γίνεται ὁπηλικουοῦν οὖσα. τοῦ δὲ μὴ ἐξιέναι ταχέως ἐκ τῶν καινῶν κατόπτρων, αἴτιον, τὸ καθαρὸν εἶναι καὶ λεῖον· διαδύεται γὰρ διὰ τῶν τοιούτων καὶ εἰς βάθος, καὶ πάντη· διὰ μὲν τὸ καθαρόν, εἰς βάθος· διὰ δὲ τὸ λεῖον, πάντη. ἐν δὲ τοῖς παλαιοῖς οὐκ ἐμμένει, ὅτι οὐχ ὁμοίως εἰσδύεται E ἡ κηλίς, ἀλλὰ ἐπιπολαιότερον. ὅτι μὲν οὖν καὶ ὑπὸ τῶν μικρῶν διαφορῶν γίνεται ἡ κίνησις, [ἔτι δὲ] καὶ ὅτι ταχεῖα ἡ αἴσθησις, καὶ ὅτι οὐ μόνον πάσχει, ἀλλὰ καὶ ἀντιποιεῖ τὸ τῶν χρωμάτων αἰσθητήριον, φανερὸν ἐκ τούτων. μαρτυρεῖ δὲ τοῖς εἰρημένοις καὶ τὰ περὶ τοὺς οἴνους καὶ τὴν μυρεψίαν συμβαίνοντα. τὸ γὰρ παρασκευασθὲν ἔλαιον ταχέως λαμβάνει τὰς τῶν πλησίον ὀσμάς.

γρ. φανεροῖς, non rectè.

Quòd autem celeriter sensoria ipsa vel tenues differentias sentiant, indicio est, id quod in speculis fieri solet: de cuius ratione seorsim dicato opere, considerare quis & addubitare possit. Et insuper ex eodem facilè constat, visum vt pati, ita etiam agere aliquid solere. Nam cùm mulieres tempore mensium è speculis admodum nitidis aliquod inspectant, tunc superficies speculi quadam veluti nebula sanguinis obducitur: atque si nouitium speculum sit, haud facile est eiusmodi maculam abstergere: sin per vetus, facile. Causa autem est, sicuti iam diximus, quòd non solùm ab aëre visus quippiam patitur, sed etiam in aërem quippiam agit, atque eundem mouet, perinde atque splendida. nam visus, de genere splendidorum & habentium colorem est. Hoc igitur tempore quo menses profluunt, eodem modo oculos, quo quamlibet aliam corporis particulam affici, ratione optima euenit. quandoquidem suapte natura venulenti sunt. Quocirca tempore menstrualis profluuij, quod commotione & inflammatione sanguinis prouenit, discrimen in oculis habetur; quod quamuis nobis ineuidens sit, (est enim natura seminis & mensium eadem) reuera tamen in eisdem est. Ab ipsis autem mensibus qui ad oculos penetrarunt, aër mouetur & inficitur: aër infectus, alium aërem qui speculo proximus est, sibi hærentem inficit, & talem qualis ipse est, reddit. à quo postremùm, speculo eluuiecula quædam allinitur. Nam specula, haud secus quàm mundissimæ vestes, celerrimè notam aliquam contrahunt. quod enim mundum est atque purum, exactè commõstrat quicquid exceperit, & potissimùm minimos motus. æs verò, quod leue tersúmque sit, qualemcumque tactum maximè sentit. Scire autem oportet, tactum aëris esse quandam veluti attritionem, detersionémq; & ablutionẽ, atque eundem, quantuluscumque sit, conspicuum propter speculi puritatem reddi. Cur verò maculæ nouis speculis inductæ difficilè eluantur, causa est, quòd ea pura sunt & tersa. nã maculæ sese per talia & in profundũ, & in omnes partes diffundunt: in profundũ, quòd pura sint: in omnes partes, quòd tersa. In vetustis autem maculæ non permanẽt, quia nõ tam altè figuntur, sed eminentiusculè. Tenues igitur differentias excitare, vellicaréque sensum, & celeriter ab eodem internosci, item non modò pati sensorium quo natura colorum percipitur, sed etiam vicissim agere, ex hisce constat. Iis quę diximus astipulatur, quod circa vina & vnguenta accidere videmus. Nam oleum quod vnguento additur, celeriter odores earum rerũ quæ in propinquo sunt, ebibit.

Vina quoque hoc idem faciunt: quippe quæ non modò earum rerum quæ induntur admiſcentúrque, odores in ſe trahant, ſed etiam earum rerum quæ prope dolia aut locantur aut naſcuntur. Ad eam verò conſiderationem quæ nobis initio inſtituta eſt, vnum ſupponatur, quod & patere poteſt ex iis quæ dicta ſunt, abeuntibus externis ſenſilibus, ſenſa quæ & ipſa quoque ſenſilia ſunt, remanere. Item facilè decipi circa ſenſus, homines in aliquo affectu poſitos, atque alios in alio, vt meticuloſum in metu, amatorem in amore, adeo vt ex tenui ſimilitudine, alter hoſtes ſe videre putet, alter quem amat. Et quo quis vtique arctiùs ipſo affectu poſſidetur, eo leuiori ſimilitudine talia ſeſe illi offerunt. Eodem modo & qui ita, & qui demum quacumque alia cupiditate rapiuntur, facilè circumſcribi ſolent. ac tanto quidem procliuiùs, quanto magis libidine ipſa ducuntur. Vnde etiam fit vt febrientes interdum animalia quædam in parietinis videre videantur, exigua ſimilitudine permoti, quam lineamenta quædam congeſta prætendunt. Atque hic error quandoque vnà cum morbo inualeſcit, ita vt cùm leuiter ægrotant, ſe falſos haberi agnoſcant: cùm verò grauiùs, minimè, ſed ipſis quoque viſis ducantur. Cauſa verò quamobrem hæc fiant, ea eſt: quòd id quod primatum obtinet, & id in quo phantaſmata fiunt, non eadem vi iudicant. Cuius rei ſignum eſt, quòd cùm ſol appareat pedalis, ſæpe aliud quippiam phantaſiæ contradicit. Item perplexis digitis, quamuis quod vnum eſt, duo appareat, tamen eſſe duo neutiquam dicimus: quia viſus, ſuperior optimatiórque tactu eſt. Quòd ſi ſolus tactus eſſet, duo eſſe quod vnum eſt, iudicaremus. Cauſa autem circumuentionis ea eſt, quoniam non tantùm quoties ſenſile mouetur, quęlibet apparere ſolent: ſed etiam quoties ſenſus ipſe mouetur, ſi eodem modo moueatur quo ſolet à ſenſili moueri. ſic littus videtur nauigantibus moueri, dum viſus ab alio mouetur.

A καὶ οἶνος αὐτὸ τοῦτο πάσχει· οὐ γὰρ μόνον τῶν ἐμβαλλομένων ἢ ἀποκιρναμένων, ἀλλὰ καὶ τῶν πλησίον τοῖς ἀγγείοις τιθεμένων, ἢ πεφυκότων ἀναλαμβάνει τὰς ὀσμάς. πρὸς δὲ τὴν ἐξ ἀρχῆς σκέψιν, ὑποκείσθω, ἓν μὲν, ὅπερ ἐκ τῶν εἰρημένων φανερόν, ὅτι καὶ ἀπελθόντος τοῦ θύραθεν αἰσθητοῦ, ἐμμένει τὰ αἰσθήματα αἰσθητὰ ὄντα. πρὸς δὲ τούτοις, ὅτι ῥᾳδίως ἀπατώμεθα περὶ τὰς αἰσθήσεις ἐν τοῖς πάθεσιν ὄντες· ἄλλοι δ' ἐν ἄλλοις, οἷον ὁ δειλὸς ἐν φόβῳ, ὁ δ' ἐρωτικὸς ἐν ἔρωτι· B ὥστε δοκεῖν ἀπὸ μικρᾶς ὁμοιότητος, τὸν μὲν, τοὺς πολεμίους ὁρᾶν· τὸν δὲ, τὸν ἐρώμενον· καὶ ταῦτα ὅσῳ ἂν ἐμπαθέστερος ᾖ, τοσούτῳ ἀπ' ἐλάσσονος ὁμοιότητος φαίνεται. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν ὀργαῖς, καὶ ἐν πάσαις ἐπιθυμίαις, εὐαπάτητοι γίνονται πάντες. καὶ μᾶλλον ὅσῳ ἂν μᾶλλον ἐν τοῖς πάθεσιν ὦσι. διὸ καὶ τοῖς πυρέττουσιν ἐνίοτε φαίνεται ζῷα ἐν τοῖς τοίχοις, ἀπὸ μικρᾶς ὁμοιότητος τῶν γραμμῶν συντιθεμένων. καὶ ταῦτ' ἐνίοτε συνεπιτείνει τοῖς πάθεσιν οὕτως, ὥστ' ἂν μὲν μὴ σφόδρα κάμνωσι, C μὴ λανθάνειν ὅτι ψεῦδος· ἂν δὲ μεῖζον ᾖ τὸ πάθος, καὶ κινεῖσθαι πρὸς αὐτά. αἴτιον δὲ τοῦ συμβαίνειν ταῦτα, τὸ μὴ κατὰ τὴν αὐτὴν δύναμιν, κρίνειν τό, τε κύριον, καὶ ἐν ᾧ τὰ φαντάσματα γίνεται. τούτου δὲ σημεῖον, ὅτι φαίνεται μὲν ὁ ἥλιος ποδιαῖος· ἀντίφησι δὲ πολλάκις ἕτερόν τι πρὸς τὴν φαντασίαν. καὶ τῇ ἐπαλλάξει τῶν δακτύλων τὸ ἓν δύο φαίνεται· ἀλλ' ὅμως οὔ φαμεν δύο. κυριωτέρα γὰρ τῆς ἁφῆς ἡ ὄψις. D εἰ δ' ἦν ἡ ἁφὴ μόνη, κἂν ἐκρίνομεν τὸ ἓν δύο. τοῦ δὲ * διεψεῦσθαι αἴτιον, ὅτι οὐ μόνον τοῦ αἰσθητοῦ κινουμένου φαίνεται ἄδηποτε, ἀλλὰ καὶ τῆς αἰσθήσεως κινουμένης αὐτῆς, ἐὰν ὡσαύτως κινῆται, ὥσπερ καὶ ὑπὸ τοῦ αἰσθητοῦ· λέγω δὲ οἷον ἡ γῆ δοκεῖ τοῖς πλέουσι κινεῖσθαι, κινουμένης τῆς ὄψεως ὑπ' ἄλλου.

* γρ. διαψεύδεσθαι

## CAPVT IV.

*Superiores hypotheſes propoſito accommodat, & quid ſint inſomnia, quomodóque fiant, & cur alia aliis, item cur quibuſdam vel nunquam, vel prouecta demum ætate inſomnia videantur, fusè explicat.*

EX his itaque patêre arbitror, nō modò vigilantibus nobis motiones illas quæ

## ΚΕΦΑΛ. δ'.

E *Οὐ μόνον ἐγρηγορότων αἱ κινήσεις αἱ ἀπὸ τῶν αἰσθημάτων γινόμεναι, ἀλλὰ καὶ ἐν ὕπνῳ φαίνονται· καὶ ὅτι διὰ σφοδρὰν ἐξ ἀναθυμιάσεως τῶν αἱμάτων ἢ αἵματος κίνησιν, οὐ φαίνεται ἐνύπνιον, ἢ τεταραγμένον· ἠρεμίας δὲ οὔσης, καθαρόν. ἔτι πῶς ἀπατῶνται διὰ τὰ ἐνύπνια οἱ καθεύδοντες. ἐνύπνιον, τί. διὰ τί οἱ μὲν μηδέποτε κατὰ τὸν βίον, οἱ δὲ προελθούσης ἤδη τῆς ἡλικίας οὐ ποτε πρότερον ἑωρακότες ἐνύπνια, ὁρῶσιν.*

ΕΚ δὴ τούτων φανερόν, ὅτι οὐ μόνον ἐγρηγορότων αἱ κινήσεις αἱ ἀπὸ τῶν αἰσθημάτων

γινόμεναι τῶν τε θύραθεν, καὶ τῶν ἐκ τοῦ σώματος ἐνυπαρχουσῶν, ἀλλὰ καὶ ὅταν γένηται τὸ πάθος τοῦτο, ὃ καλεῖται ὕπνος, καὶ μᾶλλον τότε φαίνονται. μεθ' ἡμέραν μὲν γὰρ ἐκκρούονται, ἐνεργουσῶν τῶν αἰσθήσεων καὶ τῆς διανοίας, καὶ ἀφανίζονται ὥσπερ παρὰ πολὺ πῦρ ἔλαττον· καὶ λῦπαι καὶ ἡδοναὶ μικραὶ παρὰ μεγάλας. παυσαμένων δὲ, ἐπιπολάζει καὶ τὰ μικρά. νύκτωρ δὲ, δι' ἀργίαν τῶν κατὰ μόριον αἰσθήσεων, καὶ ἀδυναμίαν τοῦ ἐνεργεῖν, διὰ τὸ ἐκ τῶν ἔξω εἰς τὸ ἐντὸς γίνεσθαι τὴν τοῦ θερμοῦ παλίρροιαν, ἐπὶ τὴν ἀρχὴν τῆς αἰσθήσεως καταφέρονται· καὶ γίνονται φανεραὶ καθισταμένης τῆς ταραχῆς. δεῖ δὲ ὑπολαβεῖν ὥσπερ τὰς μικρὰς δίνας τὰς ἐν τοῖς ποταμοῖς * ἀναφερομένας [γρ. φερομ.], οὕτω τὴν κίνησιν ἑκάστην γίνεσθαι συνεχῶς, πολλάκις μὲν ὁμοίως, πολλάκις δὲ διαλυομένας εἰς ἄλλα σχήματα, διὰ τὴν ἀντίκρουσιν. διὸ καὶ μετὰ τὴν τροφὴν, καὶ πάμπαν νέοις οὖσιν, οἷον τοῖς παιδίοις, οὐ γίνεται ἐνύπνια· πολλὴ γὰρ ἡ κίνησις, διὰ τὴν ἀπὸ τῆς τροφῆς θερμότητα. ὥστε καθάπερ ἐν ὑγρῷ, ἐὰν σφόδρα κινῇ τις, ὁτὲ μὲν οὐδὲν φαίνεται εἴδωλον· ὁτὲ δὲ, φαίνεται μὲν, διεστραμμένον δὲ πάμπαν, ὥστε φαίνεσθαι ἀλλοῖον, ἢ οἷόν ἐστιν· ἠρεμήσαντος δὲ καθαρὰ καὶ φανερά. οὕτω καὶ ἐν τῷ καθεύδειν τὰ φαντάσματα, καὶ αἱ ὑπόλοιποι κινήσεις, αἱ συμβαίνουσαι ἀπὸ τῶν αἰσθημάτων, ὁτὲ μὲν ὑπὸ μείζονος οὔσης τῆς εἰρημένης κινήσεως ἀφανίζονται πάμπαν· ὁτὲ δὲ τεταραγμέναι φαίνονται αἱ ὄψεις καὶ τερατώδεις, καὶ οὐκ * ἐρρωμένα [γρ. ἐρρωμένα, inepte.] τὰ ἐνύπνια, οἷον τοῖς μελαγχολικοῖς καὶ πυρέττουσι, καὶ οἰνωμένοις· πάντα γὰρ τὰ τοιαῦτα πάθη πνευματώδη ὄντα, πολλὴν * ποιεῖ [γρ. ποιεῖται] κίνησιν καὶ ταραχήν· καθισταμένου δὲ καὶ διακρινομένου τοῦ αἵματος ἐν τοῖς ἐναίμοις, σωζομένη τῶν αἰσθημάτων ἡ κίνησις ἀφ' ἑκάστης τῶν αἰσθήσεων, ἐρρωμένα τε ποιεῖ τὰ ἐνύπνια, καὶ φαίνεσθαί τι καὶ δοκεῖν, διὰ μὲν τὰ ἀπὸ τῆς ὄψεως καταφερόμενα, ὁρᾶν· διὰ δὲ τὰ ἀπὸ τῆς ἀκοῆς, ἀκούειν. ὁμοιοτρόπως δὲ καὶ ἀπὸ τῶν ἄλλων αἰσθητηρίων· τῷ μὲν γὰρ ἐκεῖθεν ἀφικνεῖσθαι τὴν κίνησιν πρὸς τὴν ἀρχήν, καὶ ἐγρηγορὼς ὁρᾶν δοκεῖ, καὶ ἀκούειν, καὶ αἰσθάνεσθαι· καὶ διὰ τὸ τὴν ὄψιν ἐνίοτε κινεῖσθαι δοκεῖν, οὐ κινουμένην, ὡς ὁρᾶν φαμέν· καὶ τῷ τὴν ἁφὴν δύο κινήσεις εἰσαγγέλλειν, * τὸ ἓν δύο δοκεῖν. ὅλως γὰρ τὸ ἀφ' ἑκάστης αἰσθήσεώς φησιν ἡ ἀρχή, ἐὰν μὴ ἑτέρα κυριωτέρα ἀντιφῇ.

A per eos sensus accipiuntur, qui foras prospectant, & in parte corporis exteriore iacent, sentiri solere, sed etiam cùm affectio ea suborta est, quam somnum vocamus: atque tunc impensiùs. Nam interdiu, operantibus quidem sensibus ac mente, eliduntur atque vanescunt: quo modo exiguus ignis apud ingentem offuscari solet: & dolores voluptatésque modicæ, accessu immodicarum offundi. quiescentibus verò, minima quæque emergunt. Noctu autem quia particulares sensus feriuntur, & agere nequeunt, propterea
B quòd calor exteris partibus relictis in viscera se condit, ad initium sensus originémque delabuntur, & obturbatione sedata manifestæ fiunt. Porrò existimare oportet, haud aliter motionem quamque fieri, quam paruas illas vertigines per summa amnium decurrentes: quæ interim similes euadunt, interim quòd aquæ aliò retorqueantur, in alias subinde formas soluuntur diuelluntúrque. Quamobrem statim à cibo non somniant animalia, neque cùm edita nuperrimè in lucem sunt, vt
C infantes. nam multa tum agitatio motióque est, propter alimentarium calorem. Quare quemadmodum humore vehementer commoto quandoque nulla redditur effigies: quandoque redditur quidem aliqua, sed distorta penitus, adeò vt alia videatur esse quàm sit: quiescente verò semper aliqua redditur, quæ etiam nulla ex parte affecta est, sed pura & expressa: ita & inter dormiendum interim visa, & motiones quæ per sensus haustæ supersunt, præ maiore illo motu qui dictus est, prorsus obliterantur exolescúntque: in-
D terim præposteræ & monstrosæ visiones apparent, & ingrata somnia, qualia melancholicis & vinolentis & febrientibus accidunt: omnes enim istiusmodi affectus, cùm spiritosi sint, commotionem & perturbationem plurimam afferunt. Simulac autem recedit & discretus sanguis est in iis quæ sanguinem obtinent, incolumes sensorum motiones quæ à singulis sensibus transmittuntur, grata somnia faciunt, & apparere quippiam, ac videri per ea quæ à visu deferuntur, videre,
E per ea quæ ab auditu, audire, & pari modo per ea quæ à cæteris sensuum officinis mandantur, sentire. eo enim quòd motiones à sensibus ad principium sentiendi perueniunt, videri videre, audire & sentire necesse est. Quinetiam quia conspectus non moueri videtur, cùm tamen in motu sit, vt dicimus, & quia tactus duos motus adnuntiat: quòd vnum est, duo esse videtur. nam sentiendi principium, quicquid à singulis sensibus afferatur, astruit: nisi aliqua alia virtus potior contraueniat.

Semper igitur apparet: sed non omne quod apparet, etiam videtur, nisi vis illa arbitra manus dederit, aut non moueatur motu vernaculo & suo. Quemadmodum verò diximus, alios ob alium affectum facilè decipi: ita & de dormientibus statuendum est, qui propter somnum, & eo quòd sensoria ipsa moueantur, & cætera quæ per sensum contingunt, procliues ad labēdum sunt. Quare quod tenuem alicuius rei similitudinem referat, eis ipsa planè res esse apparet. nam cùm dormientibus illis, plurima sanguinis copia ad sensum principem delabitur, vnà & motiones illæ descendūt, quæ in ea materia continentur, aliæ potentia, aliæ actu. Sic autem sese habent, vt ex eis vna aliqua prior se afferat, moueátque. qua assumpta, alia subinde comparet. Et perinde suo quæque ordine sequuntur, atque ranæ è subere, aut quauis alia materia factæ, quæ colliquato sale, quo erant oblitæ, in aqua emergunt. Ad hunc modū potentia insunt. reiecto autem eo quod impedimēto erat, actu sunt. Atque solutæ in exiguo illo reliquo sanguine qui in sensoriis habetur, similitudinē rerum, quæ sensus extimulare solent, præferūt: non aliter quàm portiones illæ nubium, quæ cùm modo effigiem hominis aut centauri referant, mox se transitu ocyssimo in alias subinde formas cōuertunt. Vnumquodque autem horum, vt dictum est, reliquiæ & vestigiū sensi actu est. Et digresso sensili, verè dicere possumus, hoc esse tale qualis Coriscus est. At cùm vis illa superior & arbitra sentit hoc, nequaquā dicit esse Coriscum: sed per hoc, verū illum Coriscum intelligit. Ea itaque virtus quæ sentiendo hoc esse Coriscū asseuerat, si non penitus sanguine obruta sit, sentiētis more exercetur à motionibus quæ in sensoriis sunt, atque cōmouetur, & tum similitudo rei videtur ipsa res esse. & tanta vis somni est, vt id latēre nos efficiat. Quēadmodum igitur si quis oculum digito supprimat, neque animaduertat digitū ita admotū, non modò apparebit, sed etiam videbitur esse duo quod vnū est: si verò animaduertat, apparebit quidē, sed non videbitur: ita & in somno si quis se dormire intelligat, & affectionē eam sentiat cui sensus sensoriæ partis addictus est, apparebit quidē ei quod somniat, sed secūdicet, quāquam apparet hoc Coriscus esse, non tamen est Coriscus: nā sæpe euenit, vt quis dormiendo in animo suo dicat, somniū esse quod videt. Quòd si dormire se nesciat, nihil imaginationi contradicet. Quòd autē vera sint quæ dicimus, quódq; motiones imaginariæ in sensuum officinis diuersentur, certum apertúmque est, si quis adhibito animo conetur meminisse eorum quæ nobis obdormiscentibus, & excitatis expergefactísque, accidunt.

A φαίνεται μὲν οὖν πάντως· δοκεῖ δὲ οὐ πάντως τὸ φαινόμενον· ἀλλ' ἐὰν τὸ * ἐπικρῖνον μὴ κατέχηται, εἰ μὴ κινεῖται τὴν οἰκείαν κίνησιν. ὥσπερ δ' εἴπομεν, ὅτι ἄλλοι δι' ἄλλο πάθος εὐαπάτητοι, οὕτως ὁ καθεύδων διὰ τὸν ὕπνον, καὶ τὸ κινεῖσθαι τὰ αἰσθητήρια, καὶ τὰ ἄλλα τὰ συμβαίνοντα περὶ τὴν αἴσθησιν. ὥστε τὸ μικρὰν ἔχον ὁμοιότητα, φαίνεσθαι ἐκεῖνο· ὅταν γὰρ καθεύδῃ, κατιόντος τοῦ πλείστου αἵματος ἐπὶ τὴν ἀρχὴν, συγ-
B κατέρχονται αἱ ἐνοῦσαι κινήσεις, αἱ μὲν δυνάμει, αἱ δὲ ἐνεργείᾳ. οὕτω δ' * ἔχουσιν, * ὥστε ἐν τῇ κινήσει τινὶ, ἤδε ἐπιπολάσει ἐξ αὐτοῦ ἡ κίνησις· ἂν δ' αὕτη φθαρῇ, ἤδε. καὶ πρὸς ἀλλήλας δὲ οὕτως ἔχουσιν, ὥσπερ οἱ πεπλασμένοι βάτραχοι, οἱ ἀνιόντες ἐν τῷ ὕδατι τηκομένου τοῦ ἁλός, οὕτως ἔνεισι δυνάμει. * ἀνειμένου δὲ τοῦ κωλύοντος, ἐνεργοῦσι· καὶ λυόμεναι ἐν ὀλίγῳ τῷ λοιπῷ αἵματι τῷ ἐν τοῖς αἰσθητηρίοις, κινοῦνται
C ἔχουσιν ὁμοιότητα, ὥσπερ τὰ ἐν τοῖς νέφεσιν, ἃ παρεικάζουσιν ἀνθρώποις καὶ κενταύροις ταχέως μεταβάλλοντα. τούτων δὲ ἕκαστόν ἐστιν, ὥσπερ εἴρηται, ὑπόλειμμα τοῦ ἐν τῇ ἐνεργείᾳ αἰσθήματος. καὶ ἀπελθόντος τοῦ αἰσθήματος τοῦ ἀληθοῦς, ἔνεστι καὶ ἀληθὲς * λέγειν, ὅτι τοιοῦτον ἐστὶ Κορίσκος, καὶ οὐ Κορίσκος ὅτε δὲ ᾐσθάνετο, οὐκ ἔλεγε Κορίσκον τὸ κύριον καὶ τὸ ἐπικρῖνον, ἀλλὰ διὰ τοῦτο ἐκεῖνον Κορίσκον τὸν ἀληθινόν. οὗ δὴ καὶ αἰσθανόμενον λέγει τοῦτο, ἐὰν μὴ παντελῶς κατέ-
D χηται ὑπὸ τοῦ αἵματος, ὥσπερ μὴ αἰσθανόμενον τοῦτο, κινεῖται ὑπὸ τῶν κινήσεων τῶν ἐν τοῖς αἰσθητηρίοις. καὶ δοκεῖ τὸ ὅμοιον αὐτὸ εἶναι ἀληθές. καὶ τοσαύτη τοῦ ὕπνου ἡ δύναμις, ὥστε ποιεῖν τοῦτο λανθάνειν. ὥσπερ οὖν εἴ τινα λανθάνει, ὑποβαλλόμενος ὁ δάκτυλος τῷ ὀφθαλμῷ, οὐ μόνον φανεῖται, ἀλλὰ καὶ δόξει εἶναι δύο τὸ ἕν· ἂν δὲ μὴ λανθάνῃ, φανεῖται μὲν, οὐ * δόξει δέ· οὕτω καὶ ἐν ὕπνοις,
E ἂν μὲν αἰσθάνηται ὅτι καθεύδει, καὶ τοῦ πάθους ἐν ᾧ ἡ αἴσθησις τοῦ ὑπνωτικοῦ, φαίνεται μέν· λέγει δέ τι ἐν αὐτῷ, ὅτι φαίνεται μὲν Κορίσκος, οὐκ ἔστι δὲ ὁ Κορίσκος. πολλάκις γὰρ καθεύδοντός τις λέγει τι ἐν τῇ ψυχῇ, ὅτι ἐνύπνιον τὸ φαινόμενον· ἐὰν δὲ λανθάνῃ ὅτι καθεύδει, οὐδὲν ἀντιφήσει τῇ φαντασίᾳ. ὅτι δὲ ἀληθῆ λέγομεν, καὶ εἰσὶ κινήσεις φανταστικαὶ ἐν τοῖς αἰσθητηρίοις, δῆλον, ἐάν τις προσέχων πειρᾶται μνημονεύειν ἃ πάσχομεν καταφερόμενοί τε καὶ ἐγειρόμενοι.

γρ. ἐπικρινόμενον

γρ. ἔχ.

γρ. ὥστε ἐν τῇ κινήσει τὸ αἷμα, ἤδη ἐπι.

γρ. αἰνιμένου

γρ. εἰπεῖν

γρ. δοξάζει

ἐνίοτε γὰρ τὰ φαινόμενα εἴδωλα καθεύδοντι, φωράσει ἐγειρόμενος κινήσεις οὔσας ἐν τοῖς αἰσθητηρίοις· ἐνίοις γὰρ τῶν νεωτέρων καὶ πάμπαν διαβλέπουσιν, ἐὰν ᾖ σκότος, φαίνεται εἴδωλα πολλὰ κινούμενα· ὥστ' ἐγκαλύπτεσθαι πολλάκις φοβουμένους. ἐκ δὴ τούτων ἁπάντων δεῖ συλλογίζεσθαι, ὅτι ἐστὶ τὸ ἐνύπνιον φάντασμα μέν τι καὶ ἐν ὕπνῳ· τὰ γὰρ ἄρτι λεχθέντα εἴδωλα, οὐκ ἔστιν ἐνύπνια· οὐδ' εἴ τι ἄλλο λελυμένων τῶν αἰσθήσεων φαίνεται· οὐδὲ τὸ ἐν ὕπνῳ φάντασμα πᾶν· πρῶτον μὲν γὰρ ἐνίοις συμβαίνει καὶ αἰσθάνεσθαί πῃ, καὶ ψόφων, καὶ φωτός, καὶ χυμοῦ, καὶ ἁφῆς, ἀσθενικῶς μέντοι, τῶν δὲ πόρρωθεν· ἤδη γὰρ ἐν τῷ καθεύδειν ὑποβλέποντες, καὶ [ εὐθὺς ἐγερθέντες ] * οἱ ἠρέμα ἑώρων φῶς τοῦ λύχνου καθεύδοντες, ὡς ᾤοντο, ἐπεγερθέντες εὐθὺς ἐγνώρισαν τὸ τοῦ λύχνου ὄν· καὶ ἀλεκτρυόνων καὶ κυνῶν φωνὴν ἠρέμα ἀκούοντες, ἐγερθέντες σαφῶς ἐγνώρισαν. ἔνιοι δὲ καὶ ἀποκρίνονται ἐρωτώμενοι· ἐνδέχεται γὰρ καὶ * τὸ ἐγρηγορέναι καὶ καθεύδειν ἁπλῶς, θατέρου ὑπάρχοντος, θάτερόν πῃ ὑπάρχειν· ὧν οὐδὲν ἐνύπνιον φατέον, οὐδ' ὅσαι δὴ ἐν τῷ ὕπνῳ γίνονται ἀληθεῖς ἔννοιαι, παρὰ τὰ φαντάσματα. ἀλλὰ τὸ φάντασμα τὸ ἀπὸ τῆς κινήσεως τῶν αἰσθημάτων, ὅταν ἐν τῷ καθεύδειν ᾖ, ᾗ καθεύδει, τοῦτ' ἐστὶν ἐνύπνιον. ἤδη δέ τισι συμβέβηκεν, ὥστε μηδὲν ἐνύπνιον ἑωρακέναι κατὰ τὸν βίον. σπάνιον μὲν τὸ τοιοῦτόν ἐστι, συμβαίνει δ' ὅμως. καὶ τοῖς μὲν ὅλως διετέλεσεν· ἐνίοις δὲ προελθούσης τῆς ἡλικίας ἐγένετο, πρότερον οὐδὲν ἐνύπνιον ἑωρακόσι. τὸ δ' αἴτιον τοῦ μὴ γίνεσθαι, παραπλήσιόν τι δεῖ νομίζειν, ὅτι οὐδὲ μετὰ τὴν τροφὴν καθυπνώσασιν, οὐδὲ τοῖς παιδίοις γίνεται ἐνύπνιον. ὅσοις γὰρ τοιοῦτον τὸν τρόπον συνέστηκεν ἡ φύσις, ὥστε πολλὴν ἀναφέρεσθαι ἀναθυμίασιν πρὸς τὸν ἄνω τόπον· ἢ πάλιν καταφερομένην ποιεῖν πλῆθος κινήσεως, εὐλόγως τούτοις οὐδὲν φαίνεται φάντασμα. προϊούσης δὲ τῆς ἡλικίας, οὐδὲν ἄτοπον φανῆναι ἐνύπνιον· μεταβολῆς γάρ τινος γινομένης, ἢ καθ' ἡλικίαν, ἢ κατὰ τὸ πάθος, ἀναγκαῖον συμβῆναι τὴν ἐναντίωσιν ταύτην.

γρ. ὁ ἠ.

γρ. τὸ ἐγρ.

A Interdum enim qui à somno recens excussus sit, deprehendet, simulachra quæ se illi per quietem obtulerant, esse motiones quæ in sensoriis sunt. nam pueris nonnullis vel planè vigilantibus aspectantibúsque, quamuis tenebricosus sit locus, tamen multæ imagines apparent quæ moueri videntur, ita vt illi se præ metu sæpe intra stragulum occulant. Ex his itaque omnibus colligi debet, somnium esse visum quidem aliquod, sed quod in somno sese offerat. nam neque simulachra ea, de quibus paulo antè diximus, insomnia sunt: B neque aliud quicquam, quod solutis sensibus appareat. Sed neque quicquid in somno se præsentat, insomnium est. Nam primò quidem nonnullis euenit, vt sonitum & lucem & saporem, & contrectationem quodammodo sentiant: sed languidè tamen, & quasi de longinquo. iam enim qui inter quiescendum cernebant, & mox excitati fuere, lumen lucernæ quod dormientes (vt rebantur) exiliter videbant, protinus, vbi expergefacti fuerunt, verum lucernæ lumen fuisse deprehendere. Sed C & qui canum & gallinaceorum voces debiliter exaudire sibi videbantur, mox experrecti veras voces fuisse apertè cognouerunt. Nonnulli etiam ad interrogata respondent. Fieri enim potest vt si alterum horum, vigilare dico & dormire, non simpliciter adest, alterum quodammodo adsit: quorum nihil somnium vocari debet: neque si quæ præter visa in somno veræ intelligentiæ fiant. Sed visum quòd à sensorum motu ortum, per quietem animalibus occurrit in eo quod dormiunt, hoc somnium est. Iam verò quibusdam accidit, vt D nunquam quicquam somniarint in vita. quod quamquam rarum est, interdum tamen contingit. Atque alij per totam vitam in eo affectu perstitêre: alij accedente ætate somniarunt, qui priùs nullum somnium viderant. Causa verò quamobrem non somnient, persimilis ei videtur quæ facit vt statim à cibo, & in ætate infantili, nullum penitus contrahatur somnium. Nam quorum ita natura constat, vt in superiorem locum diuaporatio multa concedat, E quæ suo regressu ad ima commotiones afferat plurimas, haud ab re nullum his phantasma visúmque apparet. Procedente verò ætate somnia illis restitui, nihil absurdi est. nam immutatione aliqua, vel per ætatem vel per affectum accepta, necessarium est hanc quoque rerum contrariarum vicissitudinem accidere.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ,

## ΠΕΡΙ ΤΗΣ ΚΑΘ' ΥΠΝΟΝ ΜΑΝΤΙΚΗΣ.

# ARISTOTELIS

## STAGIRITÆ, DE DIVINATIONE PER SOMNUM, LIBER.

Francisco Vatablo Interprete.

### CAPVT I.

*Somniorum alia pro signis, quædā pro causis eorū quæ eueniunt, habenda: pleraque casu euenire, ac temerè.*

A DIVINATIONEM aliquam esse quæ in somno fiat, & prouenire dicatur ab insomniis, neque contemnere facile est, neque credere. Nam quòd omnes aut plurimi arbitrantur insomnia significare aliquid, argumento est, id præ experientia asseri solere. Item de nonnullis rebus ad diuinationem fidem quandam haberi insomniis, indignum creditu non est, cùm ratione aliqua nitatur. Vnde fit, vt de cæteris quoque somniis haud secus censere quis possit. Contrà, cùm nulla rationabilis causa videatur, per quam isthæc diuinatio proueniat, efficitur vt fides abrogetur. Nam si dicatur, Deum esse qui somnia mittat, præter alia multa & hoc quoque subabsurdum est, non optimis sapientissimísque, sed quibusvis sine discrimine mitti. Sublata autem causa quæ ad Deum referatur, nulla præter alia videtur consentanea esse: quandoquidem originem eius inuenire quod dicitur, quosdam esse in Borysthene, & iuxta columnas Herculis, qui futura præsentiant: captum ingenij nostri excedere videatur. Necesse igitur est somnia esse aut causas eorum quæ fiunt, aut signa, aut fortuita, aut omnia, aut duo ex his, aut vnum solum. Causam voco: verbi gratia, deliquij solaris, lunam: febris, defatigationem. Signum deliquij, cùm luna subire incipit: febris, scabritiem linguæ: Rem fortuitam, inambulāte aliquo solem delinquere.

### ΚΕΦΑΛ. α'.

*Ὅτι τῶν ἐνυπνίων τὰ μὲν σημεῖα τῶν γινομένων, τὰ δὲ καὶ αἴτια, τὰ πλεῖστα δὲ συμπτώματα μόνον.*

Περὶ δὲ τῆς μαντικῆς τῆς ἐν τοῖς ὕπνοις γινομένης, καὶ λεγομένης συμβαίνειν ἀπὸ τῶν ἐνυπνίων, οὔτε καταφρονῆσαι ῥᾴδιον, οὔτε πεισθῆναι. τὸ μὲν γὰρ πάντας
B ἢ πολλοὺς ὑπολαμβάνειν ἔχειν τι σημεῖον τὰ ἐνύπνια, παρέχεται πίστιν, ὡς ἐξ ἐμπειρίας λεγόμενον. καὶ τὸ περὶ ἐνίων εἶναι τὴν μαντικὴν ἐν τοῖς ἐνυπνίοις, οὐκ ἄπιστον. ἔχει γάρ τινα λόγον. διὸ καὶ περὶ τῶν ἄλλων ἐνυπνίων ὁμοίως ἄν τις οἰηθείη. τὸ δὲ μηδεμίαν αἰτίαν εὔλογον ὁρᾶν, καθ' ἣν ἂν γίνοιτο, τοῦτο διαπιστεῖν ποιεῖ. τό, τε γὰρ Θεὸν εἶναι τὸν πέμποντα, πρὸς τῇ ἄλλῃ ἀλογίᾳ, καὶ τὸ μὴ τοῖς βελτίστοις καὶ φρονιμωτάτοις, ἀλλὰ τοῖς τυχοῦσι πέμπειν, ἄτο-
C πον. ἀφαιρεθείσης δὲ τῆς ἀπὸ τοῦ Θεοῦ αἰτίας, οὐδεμία τῶν ἄλλων εὔλογος εἶναι φαίνεται αἰτία. τὸ γὰρ περὶ τῶν ἐφ' Ἡρακλείαις στήλαις, ἢ τῶν ἐν Βορυσθένει προορᾶν τινας, ὑπὲρ τὴν ἡμετέραν εἶναι δόξειεν ἂν σύνεσιν, εὑρεῖν τούτων τὴν ἀρχήν. ἀνάγκη δὴ εἶναι τὰ ἐνύπνια, ἢ αἴτια εἶναι, ἢ σημεῖα τῶν γιγνομένων, ἢ συμπτώματα, ἢ πάντα, ἢ ἔνια τούτων, ἢ ἓν μόνον. λέγω δ' αἴτιον μὲν, οἷον τὴν σελήνην τοῦ ἐκλείπειν τὸν ἥλιον, καὶ τὸν κόπον τοῦ πυρετοῦ. σημεῖον δὲ τῆς ἐκλείψεως, τὸ τὸν ἀστέρα εἰσελθεῖν. τὴν δὲ τραχύτητα τῆς γλώττης, τοῦ πυρέττειν.* σύμπτωμα δὲ τὸ βαδίζοντος, ἐκλείπειν γρ. ε. τὸν ἥ

τὸν ἥλιον· οὔτε γὰρ σημεῖον τοῦ ἐκλείπειν τοῦτ' ἐστίν, οὔτ' αἴτιον· οὐδ' ἡ ἔκλειψις τοῦ βαδίζειν. διὸ τῶν συμπτωμάτων οὐδὲν οὔτε ἀεὶ γίνεται, οὔθ' ὡς ἐπὶ τὸ πολύ. ἆρ' οὖν ἐστι τῶν ἐνυπνίων, τὰ μὲν αἴτια, τὰ δὲ σημεῖα, οἷον τῶν περὶ τὸ σῶμα συμβαινόντων. λέγουσι γοῦν καὶ τῶν ἰατρῶν οἱ χαρίεντες, ὅτι δεῖ σφόδρα προσέχειν τοῖς ἐνυπνίοις· εὔλογον δ' οὕτως ὑπολαβεῖν, καὶ [μὴ ἀπιστεῖν] τοῖς τεχνίταις μέν, σκοπουμένοις δέ τι καὶ φιλοσοφοῦσιν· αἱ γὰρ μεθ' ἡμέραν γινόμεναι κινήσεις, ἂν μὴ σφόδρα μεγάλαι ὦσι καὶ ἰσχυραί, λανθάνουσι παρὰ μείζους τὰς ἐγρηγορικὰς κινήσεις. ἐν δὲ τῷ καθεύδειν, τοὐναντίον· καὶ γὰρ αἱ μικραὶ μεγάλαι δοκοῦσιν εἶναι. δῆλον δ' ἐπὶ τῶν συμβαινόντων κατὰ τοὺς ὕπνους πολλάκις. οἴονται γὰρ κεραυνοῦσθαι καὶ βροντᾶσθαι, μικρῶν ἤχων ἐν τοῖς ὠσὶ γινομένων· καὶ μέλιτος καὶ γλυκέων χυμῶν ἀπολαύειν, ἀκαρεαίου φλέγματος* καταρρέοντος, καὶ βαδίζειν διὰ πυρός, καὶ θερμαίνεσθαι σφόδρα, μικρᾶς θερμασίας περί τινα μέρη γινομένης. ἐπεγειρομένοις δὲ ταῦτα φανερὰ τοῦτον ἔχοντα τὸν τρόπον. ὥστ' ἐπεὶ μικραὶ πάντων αἱ ἀρχαί, δῆλον ὅτι καὶ τῶν νόσων καὶ τῶν ἄλλων παθημάτων, τῶν ἐν τοῖς σώμασι μελλόντων γίνεσθαι. φανερὸν οὖν, ὅτι ἀναγκαῖον ταῦτα ἐν τοῖς ὕπνοις εἶναι καταφανῆ μᾶλλον, ἢ ἐν τῷ ἐγρηγορέναι. ἀλλὰ μὴν καὶ ἔνιά γε τῶν καθ' ὕπνον φαντασμάτων, αἴτια εἶναι τῶν οἰκείων ἑκάστῳ πράξεων, οὐκ ἄλογον· ὥσπερ γὰρ μέλλοντες* πράττειν, καὶ ἐν ταῖς πράξεσιν ὄντες, ἢ πεπραχότες, πολλάκις εὐθυονειρίᾳ τούτοις σύνεσμεν καὶ πράττομεν· αἴτιον δ', ὅτι προωδοποιημένη τυγχάνει ἡ κίνησις ἀπὸ τῶν μεθ' ἡμέραν ἀρχῶν· οὕτω πάλιν ἀναγκαῖον καὶ τὰς καθ' ὕπνον κινήσεις πολλάκις ἀρχὴν εἶναι τῶν μεθ' ἡμέραν πράξεων, διὰ τὸ προωδοποιῆσθαι πάλιν καὶ τούτων τὴν διάνοιαν ἐν τοῖς φαντάσμασι τοῖς νυκτερινοῖς. οὕτω μὲν οὖν ἐνδέχεται τῶν ἐνυπνίων ἔνια σημεῖα καὶ αἴτια εἶναι. τὰ δὲ πολλὰ συμπτώμασιν* ἔοικε· μάλιστα δὲ τὰ ὑπερβατὰ πάντα, καὶ ὧν μὴ ἐν αὐτοῖς ἡ ἀρχή· ἀλλὰ περὶ ναυμαχίας, καὶ τῶν πόρρω συμβαινόντων ἐστί. περὶ γὰρ τούτων τὸν αὐτὸν τρόπον ἔχειν εἰκός, οἷον ὅταν μεμνημένῳ τινὶ περί τινος τύχῃ τοῦτο γινόμενον. τί γὰρ κωλύει καὶ ἐν τοῖς ὕπνοις οὕτως; μᾶλλον δ' εἰκὸς πολλὰ τοιαῦτα συμβαίνειν. ὥσπερ οὖν οὐδὲ τὸ μνησθῆναι περὶ τοῦδε, σημεῖον, οὐδ' αἴτιον τοῦ παραγενέσθαι αὐτόν, οὕτως οὐδ' ἐκεῖ τὸ ἀποβῆναι μετὰ τὸ ἐνύπνιον τῷ ἰδόντι, οὔτε σημεῖον, οὔτ' αἴτιον,

γρ. ἀπορρέοντος.

A nam neque causa, neque signum deliquij, inambulatio est: aut deliquium inambulationis. Quapropter res fortuitæ neque semper, neque maiori ex parte fiunt. Súntne igitur somniorum alia causæ, alia signa, videlicet eorum quæ in corpore accidunt? Nam & qui è Medicorum schola paulo peritiores habentur, insomnia diligenter attendenda dicunt. Nec ab re ita existimant, artifices alioqui, sed qui tamen meditari aliquid philosopharique solent. Nam motiones quæ interdiu contingunt, nisi magnæ B admodum fortésque sint, maioribus illis quæ secundùm vigiliam fiunt, offunduntur. At in somno contrà fit. tunc enim quæ paruæ sunt, esse magnæ creduntur. Id quod facilè constat ex iis quæ in somno contingere solent. sæpe enim accidit, vt dormientes, modico strepitu exaudito, fulminare & tonare putemus: & tenui pituita distillante, melle aut dulci alio sapore frui: & exiguo calore in quibusdam corporis partibus exorto, super prunas ambulare, & vehementer calefieri. Excitati verò, isthæc hoc habere modo deprehendimus. Quare C cùm exordia omnium parua sint, certum est & principia morborum & cæterarum affectionum, quæ in corpore perficiendæ sunt, imbecilla esse oportere. Patet igitur, necessariò hæc in somnis euidentiora esse, quàm in vigilia. Sed & quædam ex visis illis quæ per somnum apparent, causas esse suorum cuiusque actuum, à ratione minimè abhorret. Vt enim qui acturi aliquid sunt, aut qui nunc id agunt, aut qui iam egerunt, plerumque hoc idem per somnia contuentur & administrant: quia diurna initia ad talem motum quasi viam quan-D dam præparauere: ita è conuerso necessarium est, vt plerumque motiones quæ se per somnum offerunt, principia sint eorum quæ interdiu gerimus: quia è contrario & hæc antea inter nocturna visa mens nostra concepit. Ad hunc igitur modum, è somniis nonnulla tum signa, tum causas esse contingit. At complura persimilia habentur iis quæ temerè ac vice fortuita proueniunt: præsertim extrema illa, supráque omnem fidem hominis posita, & ea quorum origo in nobis non est, sed de nauali E pugna sunt, & iis quæ procul à nobis geruntur. Nam de his eo modo statuendum est, quo statuitur, cùm id fortè fortuna euenit, quo de quis mentionem faciebat. Quid enim prohibet, quominus idem in somno contingat? immò verò multa eiusmodi contingere par est. Quemadmodum igitur mentio de quopiam, neque signum, neque causa fuisse potest, cur idem ad nos accesserit: ita neque somnium, signum aut causa dicendum, quamobrem sic prorsus euenerit vt somnianti apparuerat,

sed

sed fortuitum quid, temerariúmque. Vnde etiam fit vt plurima somniorum minimè euadant. nam quę fortuita sunt, neque semper, neque maiori ex parte accidunt.

A ἀλλὰ σύμπτωμα. διὸ καὶ πολλὰ τῶν ἐνυπνίων οὐκ ἀποβαίνει· τὰ γὰρ συμπτώματα οὔτ' ἀεί, οὔθ' ὡς ἐπὶ τὸ πολὺ γίνεται.

## CAPVT II.

*Somnia non esse à Deo sed à natura: Democritũ falsò de iis statuisse: item alia de iisdem & de optimo eorum interprete.*

## ΚΕΦΑΛ. β'.

Ὅτι τὰ ἐνύπνια οὐ θεόπεμπτα μέν, δαιμόνια μέντοι· καὶ οὐκ εἴδωλα οὐδὲ ἀπόρροαι, κατὰ τὸν Δημόκριτον, ἀλλὰ κίνησίς τις καὶ αἴσθησις ἀφικνουμένη πρὸς τὰς ψυχὰς τὰς ἐνυπνιαζούσας. καὶ τίσι, καὶ πῶς αὐτὰ γίνεται. ἔτι δέ, τίς ἄριστος ὀνείρων κριτής.

B

AD summam, cùm è cæteris quoque animantibus aliqua somnient, haudquaquam insomnia à Deo missa veniunt, aut ad eum finem nobis adiuncta fuere; dæmonia tamen haberi debent. nam & natura, dæmonia est, non diuina. Cuius rei indicio est, quòd degeneres admodum & gregarij homines futura præuident, & ita vt res habet, somniant, tanquam non delegante somnia Deo. Verùm prout quisque natura locutuleius est, aut vitio bilis atræ laborat, ita multifarias visiones experitur. Quia verò plurimis & variis spectris feriuntur, aliquando insomnia illa quibus euentus quidam respondet, incidunt sicuti nonnulli, cùm totum diem certant, interim præmium capiunt. Nam quod in prouerbio est, *Si sæpe iacias, alium altàs feriens:* idem & insomniis contingere solet. Nec verò absurdum est, plurima non euadere. Nam neque ea signa quæ in corpore visuntur, aut in cœlo, vt quæ imbreis aut flatus prætẽdunt, semper eueniunt. si enim alius vehementior motus ingruat, quàm sit iste futurus à quo illa fiant, tum ex signo nihil sequi solet. Sed & plurima agendorum, de quibus consilium optima ratione inieris, superuenientibus initiis aliis grauioribus, in irritum decidunt. nec enim prorsus omne fit, quod futurum erat: neque idem est, fore, & esse futurum. Sed dicendum est, & principia esse à quibus nihil emergat, & signa quæ nullus approbet effectus. De somniis verò quæ eiusmodi principia non habẽt, qualia diximus, sed ab hisce qui somniant aut temporibus aut locis, aut magnitudine abiuncta sunt, aut eisdem vicinitate aliqua adiuncta sunt, non tamen principia eorum continent, nisi temerè futura præsentiantur, sic statuendum, vt sequitur, potiùs est, quàm vt Democritus asserit, somnia simulachris & defluxibus accepta referens. Nam quemadmodum siquis aquam aut aërem propellat, pars commota subinde aliam commouet, cessantéque illo accidit talem motum quadantenus progredi, autore etiamnum absente: ita nihil obstat, motus quosdam & sensus ad animas somniantes peruenire

ΟΛΩΣ δ' ἐπεὶ καὶ τῶν ἄλλων ζώων ὀνειρώττει τινά, θεόπεμπτα μὲν οὐκ ἂν εἴη τὰ ἐνύπνια, οὐδὲ γέγονε τούτου χάριν. δαιμόνια μέντοι· ἡ γὰρ φύσις δαιμονία, ἀλλ' οὐ θεία. σημεῖον δέ· πάνυ γὰρ * ἀγεννεῖς ἄνθρωποι προορατικοί εἰσι, καὶ εὐθυόνειροι, ὡς οὐ θεοῦ πέμποντος· ἀλλ' ὅσων ὥσπερ ἂν εἰ ἡ φύσις λάλος ἐστί, καὶ μελαγχολική, παντοδαπὰς ὄψεις ὁρῶσι. διὰ γὰρ τὸ πολλὰ καὶ παντοδαπὰ κινεῖσθαι, ἐπιτυγχάνουσιν ὁμοίοις θεωρήμασιν ἐπιτυχεῖς ὄντες, ἐν τούτοις, ὥσπερ ἔνιοι ἄρτια * μερίζοντες ἁρπάζουσιν. ὥσπερ γὰρ λέγεται, ἂν πολλὰ βάλῃς, ἄλλοτ' ἀλλοῖον βαλεῖς, καὶ ἐπὶ τούτων τοῦτο συμβαίνει. ὅτι δ' οὐκ ἀποβαίνει πολλὰ τῶν ἐνυπνίων, οὐδὲν ἄτοπον· οὐδὲ γὰρ τῶν ἐν τοῖς σώμασι σημείων, καὶ τῶν οὐρανίων, οἷον τὰ τῶν ὑδάτων καὶ τὰ τῶν πνευμάτων. ἂν γὰρ ἄλλη κυριωτέρα ταύτης συμβῇ κίνησις, ἀφ' ἧς * μελλούσης ἐγένετο, τὸ σημεῖον οὐ γίνεται· καὶ πολλὰ βουλευθέντα καλῶς τῶν πραχθῆναι δεόντων, διελύθη δι' ἄλλας κυριωτέρας ἀρχάς. ὅλως γάρ, οὐ πᾶν γίνεται τὸ μελλῆσαν· οὐδὲ ταὐτὸ τὸ ἐσόμενον, καὶ τὸ μέλλον. ἀλλ' ὅμως ἀρχάς γέ τινας λεκτέον εἶναι, ἀφ' ὧν οὐκ ἐπετελέσθη, καὶ σημεῖα πέφυκε ταῦτα, τινῶν οὐ γινομένων. περὶ δὲ τῶν μὴ τοιαύτας ἐχόντων τὰς ἀρχὰς ἐνυπνίων, οἵας εἴπομεν, ἀλλ' ὑπερορίας, ἢ τοῖς χρόνοις, ἢ τόποις, ἢ τοῖς μεγέθεσιν, ἢ τούτων μὲν μηδέν, μὴ μέντοι ἐν αὑτοῖς ἐχόντων τὰς ἀρχὰς τῶν ἰδόντων τὸ ἐνύπνιον, εἰ μὴ γίνεται τὸ προορᾶν ἀπὸ τοῦ συμπτώματος, τοιόνδ' ἂν εἴη μᾶλλον, ἢ ὥσπερ λέγει Δημόκριτος, εἴδωλα καὶ ἀπορροὰς αἰτιώμενος. ὥσπερ γὰρ ὅταν κινήσῃ τις τὸ ὕδωρ, ἢ τὸν ἀέρα, τοῦθ' ἕτερον ἐκίνησε· καὶ παυσαμένου δ' ἐκείνου, συμβαίνει τὴν τοιαύτην κίνησιν προϊέναι μέχρι τινός, τοῦ κινήσαντος οὐ παρόντος· οὕτως οὐδὲν κωλύει κίνησίν τινα καὶ αἴσθησιν ἀφικνεῖσθαι πρὸς τὰς ψυχὰς τὰς ἐνυπνιαζούσας.

C D E

γρ. εὐτελεῖς

γρ. ἐρίζουσιν, apud Themist.

Apud Them. est μελλούσης & sic leg. vel mutata distinct. sic, ἀφ' ἧς μελλ. ἐγένετο τὸ σημεῖον, οὐ γ. plano sensu.

ἀφ' ὧν ἐκεῖνος τὰ εἴδωλα ποιεῖ καὶ τὰς ἀπορροάς· καὶ ὅπῃ δὴ ἔτυχεν ἀφικνουμένας, μᾶλλον αἰσθητὰς εἶναι νύκτωρ, διὰ τὸ μεθ' ἡμέραν φερομένας διαλύεσθαι· ἀταραχωδέστερος γὰρ [μᾶλλον] ὁ ἀὴρ τῆς νυκτὸς, διὰ τὸ νηνεμωτέρας εἶναι τὰς νύκτας· καὶ ἐν τῷ σώματι ποιεῖν αἴσθησιν, διὰ τὸν ὕπνον· διὸ καὶ τῶν μικρῶν κινήσεων τῶν ἐντὸς αἰσθάνεσθαι καθεύδοντας μᾶλλον, ἢ ἐγρηγορότας. αὗται δ' αἱ κινήσεις φαντάσματα ποιοῦσιν, ἐξ ὧν προορῶσι τὰ μέλλοντα περὶ τῶν τοιούτων. διὰ ταῦτα συμβαίνει τὸ πάθος τοῖς τυχοῦσι, καὶ οὐ τοῖς φρονιμωτάτοις· μεθ' ἡμέραν γὰρ ἐγίνετ' ἂν καὶ τοῖς σοφοῖς, εἰ Θεὸς ἦν ὁ πέμπων. οὕτω δ' εἰκὸς τοὺς τυχόντας προορᾶν. ἡ γὰρ διάνοια τῶν τοιούτων οὐ φροντιστική, ἀλλ' ὥσπερ ἔρημος καὶ κενὴ πάντων, καὶ κινηθεῖσα κατὰ τὸ κινοῦν ἄγεται. τοῦ δ' ἐνίους τῶν ἐκστατικῶν προορᾶν, αἴτιον ὅτι αἱ οἰκεῖαι κινήσεις οὐκ ἐνοχλοῦσιν, ἀλλ' *ἀπορραπίζονται. τῶν ξενικῶν οὖν μάλιστα αἰσθάνονται· τὸ δέ τινας εὐθυονείρους εἶναι, καὶ τὸ τοὺς γνωρίμους περὶ τῶν γνωρίμων μάλιστα προορᾶν, συμβαίνει διὰ τὸ μάλιστα τοὺς γνωρίμους ὑπὲρ ἀλλήλων φροντίζειν. ὥσπερ γὰρ πόρρω ὄντων μάλιστα γνωρίζουσι καὶ αἰσθάνονται, οὕτω καὶ τῶν κινήσεων· αἱ γὰρ τῶν γνωρίμων γνωριμώτεραι κινήσεις. οἱ δὲ μελαγχολικοὶ, διὰ τὸ σφόδρα, ὥσπερ βάλλοντες πόρρωθεν, εὔστοχοί εἰσι· καὶ διὰ τὸ μεταβλητικὸν, ταχὺ τὸ ἐχόμενον φαντάζονται αὐτοῖς. ὥσπερ γὰρ τὰ Φιλαιγίδου ποιήματα καὶ οἱ ἐμμανεῖς ἐχόμενα τοῦ ὁμοίου λέγουσι, καὶ διανοοῦνται, οἷον Ἀφροδίτην· καὶ οὕτω συνείρουσιν εἰς τὸ πρόσω. ἔτι δὲ καὶ διὰ τὴν σφοδρότητα οὐκ ἐκκρούεται αὐτῶν ἡ κίνησις ὑφ' ἑτέρας κινήσεως. τεχνικώτατος δ' ἐστὶ κριτὴς ἐνυπνίων, ὅστις δύναται τὰς ὁμοιότητας θεωρεῖν· τὰς γὰρ εὐθυονειρίας κρίνειν παντός ἐστι. λέγω δὲ, τὰς ὁμοιότητας, ὅτι παραπλήσια συμβαίνει φαντάσματα τοῖς ἐν τοῖς ὕδασιν εἰδώλοις, καθάπερ καὶ πρότερον εἴπομεν. ἐκεῖ δὲ, ἂν πολλὴ γίνηται ἡ κίνησις, οὐδὲν ὁμοία γίνεται ἡ ἔμφασις, καὶ τὰ εἴδωλα τοῖς ἀληθινοῖς. δεινὸς δὲ τὰς ἐμφάσεις κρίνειν ἱκανῶς εἴη ἂν ὁ δυνάμενος ταχὺ συνορᾶν καὶ διαισθάνεσθαι τὰ διαπεφορημένα καὶ διεστραμμένα τῶν εἰδώλων, ὅτι ἀνθρώπου, ἢ ἵππου, ἢ ὅτου δήποτε. κἀκεῖ δὴ ὁμοίως τί δύναται τὸ ἐνύπνιον τοῦτο· ἡ γὰρ κίνησις ἐκκρούει τὴν εὐθυονειρίαν.

*γρ. ἀπορρίπτεῖ.

A ab iis rebus à quibus ille exuuias & imagines mitti affirmat: & quocumque peruenerint, impensiùs noctu sentiri, quia interdiu delati dissoluantur: (est enim aër noctis ab omni turba liberior: quòd noctes vento minùs infestentur:) & in corpore facere sensum, ratione somni, quòd motiunculas interiores, dormientes meliùs quàm vigilantes sentiscant. Porrò hi motus visa dormientibus afferunt, per quæ vaticinari futura de rebus ipsis assolent. Et ob id quibusuis sine lege vlla, non prudentissimis, præsagire contingit. nam si Deus B somnia mitteret, præsagia interdiu fierent, & sapientibus darentur. Sic autem stolidissimos quosque præuidere par est. mens enim omnium id genus hominum curis referta non est, sed quasi deserta, & cogitationibus vacua: sed & cùm mouetur, id quod eam mouet, sequi solet. Quosdam verò esse, qui in excessu mentis futura præsentiant, id causæ est: quòd vernaculi motus illos non infestent, sed procul ab eis summoueantur. ex quo fit, vt peregrinos maximè sentiant. Esse item aliquos qui C certissima somnient, & de necessariis & amicis suis potissimùm quemque futura præuidere, hinc euenit, quòd necessarij de se mutuò impensè solliciti sunt: vt enim de longinquo se maximè agnoscunt & sentiunt, ita & suos quoque motus, quandoquidem rerum notiorum motiones, notiores habentur. Melancholici verò, propter naturæ suæ vehementiam, eminus iaculatorum modo collimant: necnon propter mobilitatem ocyssimè quod consequens annexúmque sit, imaginantur. Nam quemadmodum qui furore perciti sunt, D poëmata Philægidæ, serie quadam consimili constantia, dicere ac meditari, vt Venerem, & ita ad finem vsque premere solent: ita melancholici visa, quæ perinde colligata sint, celeriter recurrunt. Præterea tanta concitatione rapi solent, vt motus eorum ab alio motu elidi aut retorqueri non possit. Artificiosissimus somniorum interpres haberi debet, qui similitudines perspicere possit: nam recta claráque somnia interpretari, cuiusuis est. Dico similitudines, quoniam, vt etiam præmo-E nui, spectra similia euadunt simulachris, quæ in torrente apparent, vbi si multa commotio fiat, nullæ apparitiones aut simulachra veris rebus similia redduntur. Acerrimus verò apparitionum coniector est, qui celeriter perspicere & discernere potest, simulacra, distorta alioqui & incondita, hominem aut equum aut aliud quodcumque id sit, referre. Et somniorum itaq; coiector optimus est, qui simile quippiam internoscere potest: cùm motio sinceritatem somniorum interturbare soleat.

Sed quid sit somnus, & quid insomnium, & qua de causa vtrumque fiat, item de diuinatione quæ ab insomniis oriatur, dictum iam est.

A Τί μὲν οὖν ἐστιν ὁ ὕπνος καὶ ἐνύπνιον, καὶ διὰ τίνα αἰτίαν ἑκάτερον αὐτῶν γίνεται· ἔτι δέ, περὶ τῆς ἐκ τῶν ἐνυπνίων μαντικῆς εἴρηται. * [Περὶ δὲ τῆς κοινῆς κινήσεως τῶν ζῴων λεκτέον.]

Inclusa quidam nō agnoscunt, & sequẽtes libros aliter disponunt. exstant verò etiã in Th. paraph. è scriptis codd. vt neque de iis neque de libro qui hunc debet sequi dubitari queat.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ,

## ΠΕΡΙ ΤΗΣ ΚΟΙΝΗΣ ΤΩΝ ΖΩΩΝ ΚΙΝΗΣΕΩΣ.

# ARISTOTELIS

## STAGIRITÆ, DE ANIMALIVM MOTIONE, LIBER.

Nicolao Leonico Interprete.

### CAPVT I.

*Docet, omnia quæ mouentur animalia, necessariò in se habere aliquid quod quiescat.*

De animalium autem motione, quæcumque illis per genera insunt, & quæ differentiæ, quæve eorum causæ quæ illis sigillatim accidunt, de omnibus in aliis est considerandum. Omnino autem de communi cuiuscumque motionis causa; (nam alia quidem volatu mouentur, alia natatu, nonnulla progressione, alia per alios eiusmodi motus;) in præsentia est pertractandum. Quòd igitur aliarum initium est motionum, id quod seipsum mouet, illius autem id quod est immobile: præterea quòd primum mouens necessariò omni vacat motu, determinatum est priùs, cùm de sempiterno motu, vtrùm sit néc ne, & si sit, quidnam sit, constitutum est. Hoc autem non solùm vniuersali ratione accipere oportet, sed in singulis etiam & sensilibus, quorum gratia vniuersales quærimus rationes, & quibus oportere illas accommodari existimamus. Etenim in iis manifestum est non posse quicquam moueri, nisi aliquid quiescat. Ac primùm quidem in animalibus. Oportet namque si aliqua mouetur pars, quiescere quippiam: & hanc ob causam articulorum flexus animalibus insunt. His enim vtuntur flexibus, vt centro quodam: fitque totum membrum



A

### ΚΕΦΑΛ. α'.

Ὑπόθεσις τῆς βίβλου· ὅτι κινεῖσθαι τὰ ζῷα ἀδύνατον, μηδενὸς ἠρεμοῦντος ἐν αὐτοῖς τοῖς ζῴοις.

ΠΕΡΙ δὲ κινήσεως τῆς τῶν ζῴων, ὅσα μὲν περὶ ἕκαστον αὐτῶν ὑπάρχει γένος, καὶ τίνες διαφοραί, καὶ τίνες αἰτίαι τῶν καθ' ἕκαστον συμβεβηκότων αὐτοῖς, ἐπισκεπτέον περὶ ἁπάντων ἐν ἑτέροις. ὅλως δὲ περὶ B τῆς κοινῆς αἰτίας τοῦ κινεῖσθαι κίνησιν ὁποιανοῦν (τὰ μὲν γὰρ πτήσει κινεῖται, τὰ δὲ νεύσει, τὰ δὲ πορείᾳ τῶν ζῴων, τὰ δὲ κατ' ἄλλους τρόπους τοιούτους) ἐπισκεπτέον νῦν. ὅτι μὲν οὖν ἀρχὴ τῶν ἄλλων κινήσεων, τὸ αὐτὸ ἑαυτὸ κινοῦν, *τούτου δὲ ἀκίνητον, καὶ ὅτι τὸ πρότερον κινοῦν ἀναγκαῖον ἀκίνητον εἶναι), διώρισται πρότερον, ὅτε καὶ περὶ κινήσεως ἀϊδίου, πότερόν ἐστιν ἢ οὐκ ἔστι, καὶ εἰ ἔστι, τίς ἐστι. δεῖ δὲ τοῦτο μὴ μόνον τῷ λόγῳ καθόλου λαβεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν καθ' ἕκαστα καὶ τῶν αἰσθητῶν, δι' ἅπερ καὶ τοὺς καθόλου ζητοῦμεν λό- C γους, καὶ ἐφ' ὧν ἐφαρμόττειν* οἰόμεθα δεῖν αὐτούς. φανερὸν γὰρ καὶ ἐπὶ τούτων, ὅτι ἀδύνατον κινεῖσθαι μηδενὸς ἠρεμοῦντος, πρῶτον μὲν ἐν αὐτοῖς τοῖς ζῴοις. δεῖ γάρ, ἂν κινῆταί τι τῶν μορίων, ἠρεμεῖν τι· καὶ διὰ τοῦτο αἱ καμπαὶ τοῖς ζῴοις εἰσίν. ὥσπερ γὰρ κέντρῳ χρῶνται ταῖς καμπαῖς, καὶ γίνεται τὸ ὅλον μέρος,

Interp. πρῶτον δὲ τὸ ἀκ.

ἢ οἰόμεθα;

ἐν ᾧ ἐστὶν ἡ καμπὴ, καὶ ἓν καὶ δύο, καὶ εὐθὺ καὶ καμπύλον, μεταβάλλον δυνάμει καὶ ἐνεργείᾳ διὰ τὴν καμπήν. καμπτομένου δὲ καὶ κινουμένου, τὸ μὲν κινεῖται σημεῖον, τὸ δὲ μένει ἐν ταῖς καμπαῖς. ὥσπερ ἂν, εἰ τῆς διαμέτρου, ἡ μὲν α καὶ ἡ δ μένοι· ἡ δὲ β κινοῖτο, καὶ γίνοιτο ἡ α γ. ἀλλ' ἐνταῦθα μὲν δοκεῖ πάντα τρόπον ἀδιαίρετον εἶναι τὸ κέντρον. καὶ γὰρ τὸ κινεῖσθαι, ὥς φασι, πλάττουσιν ἐπ' αὐτῶν. οὐ γὰρ κινεῖται τῶν μαθηματικῶν οὐδέν. τὰ δ' ἐν ταῖς καμπαῖς δυνάμει καὶ ἐνεργείᾳ γὰρ ὁτὲ μὲν ἓν, ὁτὲ δὲ διαιρετά. ἀλλ' οὖν ἡ ἀρχὴ, ᾗ ἀρχὴ, ἠρεμεῖ, κινουμένου τοῦ μορίου τοῦ κάτωθεν· οἷον τοῦ μὲν βραχίονος κινουμένου, τὸ ὠλέκρανον· ὅλου δὲ τοῦ κώλου, ὁ ὦμος· καὶ τῆς μὲν κνήμης, τὸ γόνυ· ὅλου δὲ τοῦ σκέλους, τὸ ἰσχίον. ὅτι μὲν οὖν καὶ ἐν αὐτῷ ἕκαστόν τι δεῖ ἔχειν ἠρεμοῦν, ὅθεν ἡ ἀρχὴ τοῦ κινουμένου ἐστὶ, καὶ πρὸς ὃ ἀπερειδόμενον, καὶ ὅλον ἀθρόον κινηθήσεται, καὶ κατὰ μέρος, φανερόν.

A in quo articuli est flexus, vnum & duo, nec non rectum & curuum, inflexus gratia cùm actu tum potestate commutatum. Cùm mouetur autem & inflectitur, alia quidem mouetur nota, alia verò in ipso inflexu quiescit: quemadmodum si diametri a & d quiescat, b verò moueatur, & fiat a c. Verùm hoc in loco impartibile omnino videtur esse centrum. In illis enim motiones fingunt. Mathematicorum namque mouetur nullum. B In articulorum autem curuaturis potestate & actu modò quidem fit vnum, modò autem partibile. Verùm initium vt eiusmodi est, quiescit inferiori parte mota. vt brachio quidem moto, cubitus: toto autem membro, humerus: & tibia quidem mota, genu: toto verò crure, coxa. Quòd igitur vnumquodque in seipso quiescens quippiam habere oportet, vnde motionis est initium, & ad quod innisum totum simul mouebitur, & per partes, manifestum est.

C

## ΚΕΦΑΛ. β'.

Ὅτι καὶ ἔξωθεν τοῦ κινουμένου ἠρεμεῖν τι ἀναγκαῖον, πρὸς ὃ ἀπερείδεσθαι ἐν τῷ κινεῖσθαι· καὶ ποῖον τοῦτ' ἐστί.

ΑΛΛΑ πᾶσα καὶ ἐν αὐτῷ ἠρεμία ἄκυρος ὅμως, ἂν μή τι ἔξωθεν ᾖ ἁπλῶς ἠρεμοῦν καὶ ἀκίνητον. ἄξιον δ' ἐπιστήσαντας ἐπισκέψασθαι περὶ τοῦ λεχθέντος. ἔχει γὰρ τὴν θεωρίαν, οὐ μόνον ὅσον ἐπὶ τὰ ζῶα συντείνουσαν, ἀλλὰ καὶ πρὸς τὴν τοῦ παντὸς κίνησιν καὶ φοράν. ὥσπερ γὰρ [καὶ] ἐν αὐτῷ δεῖ τι ἀκίνητον εἶναι, εἰ μέλλει κινεῖσθαι, οὕτως ἔτι μᾶλλον ἔξω δεῖ τι εἶναι τοῦ ζώου ἀκίνητον, πρὸς ὃ ἀπερειδόμενον κινεῖται τὸ κινούμενον. εἰ γὰρ ὑποδώσει ἀεὶ, οἷον τοῖς μυσὶ τοῖς ἐν τῇ γῇ, ἢ τοῖς ἐν τῇ ἄμμῳ πορευομένοις, οὐ προΐεισιν, οὐδ' ἔσται οὔτε πορεία, εἰ μὴ ἡ γῆ μένοι· οὔτε πτῆσις ἢ νεῦσις, εἰ μὴ ὁ ἀὴρ ἢ ἡ θάλαττα ἀντερείδοι. ἀνάγκη δ' ἕτερον εἶναι τοῦτο τοῦ κινουμένου, καὶ ὅλον ὅλου, καὶ μόριον μηδὲν εἶναι τοῦ κινουμένου τὸ οὕτως ἀκίνητον. εἰ δὲ μὴ, οὐ κινηθήσεται. μαρτύριον δὲ τούτου τὸ ἀπορούμενον, διά τί ποτε τὸ πλοῖον μὲν ἔξωθεν, ἄν τις ὠθῇ τῷ κοντῷ τὸν ἱστὸν, ἤ τι ἄλλο προσβάλλων μόριον, κινεῖ ῥᾳδίως· ἐὰν δ' ἐν αὐτῷ τις ὢν τῷ πλοίῳ, τοῦτο πειρᾶται ποιεῖν, οὐκ ἂν κινήσειεν, οὔτ' ἂν ὁ Τιτυὸς, οὔθ' ὁ Βορέας πνέων ἔσωθεν ἐκ τοῦ πλοίου, εἰ

## CAPVT II.

*Quod, vt moueantur animalia extrinsecus etiam, aliud ab ipsis esse oportet quod quiescat.*

VErumtamen omnis in ipso minùs efficax est quies, nisi extrinsecus aliquid fuerit simpliciter quiescens, & omni carens motu. Operæpretium autem est, accuratè æstimantes, de eo quod dictum est, perscrutari. Contemplationem enim D quandam habet non solùm ad animalia, verùm ad ipsius etiam vniuersi motum & lationem pertinentem. Quemadmodum enim in ipso immobile quiddam esse oportet, si debet moueri; ita etiam magis extra ipsum animal quippiam esse oportet immobile, ad quod innisum quod motum est, mouetur. Si enim semper cesserit, vt muribus per terram aut arenam progredientibus, non sanè progredietur, neque certè vllus erit progressus, nisi stet terra: neque volatus, aut natatio, nisi aër aut mare E resistant. Hoc autem aliud ab eo esse quod mouetur, necesse est, & totum à toto, nullámque rei motæ esse portionem, quod sic est immobile. Sin secus fuerit, non mouebitur. Huic autem rei testimonio esse potest id de quo ambigi solet, cur si quis nauigium extrà propellat conto ad malum innisus, vel ad aliam illius partem, paruo negotio illud mouet. contrà si in ipso sit nauigio, & idipsum facere contendat, minimè illud mouere possit, neque, si Tityus ipse aut Boreas ex ipso sufflent nauigio:

siquidem eo sufflare quemquam contingat modo, quo pictores faciunt, cùm ex seipso quempiam spiritum emittentem pingunt. Siue enim leuiter spiritum, siue ita vehementer emittat, vt maximum efficiat ventum, siue aliud sit quod proiiciatur, vel impellatur; necesse est primùm ad suarum quampiam partium quiescentem innisum propellere, deinde hanc ipsam partem, aut cuiusnam continget esse pars, ad externum quiddam innisam quiescere. Qui autem nauigium propellit; cùm ipse in nauigio sit, nullique innitatur, rationabiliter nauigium non mouet, quoniam id cui innititur, manere necesse est. Accidit autem ipsi idem, & quod mouetur, & cui innititur. Qui autem extra propellit, vel trahit, sanè mouet. Nulla enim nauigij pars est terra.

## CAPVT III.

*Quærit quodnam sit mouens ipsum cœlum. Refutatio veteris fabulæ de Atlante.*

SEd dubitare sanè poterit aliquis; an si quid vniuersum mouet cœlum, & omni carere motu, & nullam cœli esse partem, neque in cœlo esse oporteat. Siue enim ipsum motum, cœlum mouet, aliquod sanè non motum attingens necesse est ipsum mouere: id autem nullam mouentis esse partem: siue continuò non motum est id quod mouet, nulla itidem motæ rei erit pars. Et hoc sanè rectè dicere videntur, quicumque asserunt quòd circulo latæ sphæræ nulla omnino manet pars. aut enim totam stare necesse esset, aut illius continuum diuelli. Verùm quoniam polos potentiam habere quandam arbitrantur, cum nullam habeant magnitudinem, sed vltima & puncta existant: id sanè non rectè. Ad hoc enim quod nulla illorum est essentia, fieri non potest vt vnicus à duobus agatur motus. Polos porro duos faciunt. Quod igitur ad vniuersam naturam quiddam sic se habet, vt terra ad animalia & ad ea quæ per se mouentur, ex huiusmodi quispiam dubitare poterit. Verum ij qui in fabulis versantur, & Atlantem pedes in terra habere faciunt, non sine mente hanc fabulam dixisse videri possunt: perinde ac ille diameter sit, cœlúmque circum polos torqueat. id autem ratione contingere videtur, quoniam manet terra. Verum huiusmodi rei assertoribus concedere est necesse, illam vniuersi nullam esse partem. Præterea mouentis robur & quiescentis, æquabiliter se habere oportet. est enim magnitudo roboris, & potentiæ, qua sic manet quod quiescit,



A τύχοι τις πνέων τὸν τρόπον τοῦτον, ὅνπερ οἱ γραφεῖς ποιοῦσιν. ἐξ αὐτοῦ γὰρ τὸ πνεῦμα ἀφιέντα γράφουσιν. ἐάν τε γὰρ ἠρέμα ῥιπτῇ τὸ πνεῦμα, ἐάν τε ἰσχυρῶς, οὕτως ὥστ' ἄνεμον ποιεῖν τὸν μέγιστον, ἐάν τε ἄλλο τι ᾖ τὸ ῥιπτούμενον ἢ ὠθούμενον, ἀνάγκη πρῶτον μὲν πρὸς ἠρεμοῦν τι τῶν αὐτοῦ μορίων ἀπερειδόμενον ὠθεῖν, εἶτα πάλιν τοῦτο τὸ μόριον, ἢ αὐτὸ, ἢ οὗ τυγχάνει μόριον ὄν, πρὸς τὸ ἔξωθέν τι ἀπεστηριζόμενον μένειν· ὁ δὲ τὸ πλοῖον ὠθῶν, ἐν B τῷ πλοίῳ αὐτὸς ὢν, καὶ ἀπεστηριζόμενος εἰς τὸ πλοῖον, εὐλόγως οὐ κινεῖ τὸ πλοῖον, διὰ τὸ ἀναγκαῖον εἶναι πρὸς ὃ ἀποστηρίζεται μένειν. συμβαίνει δὲ αὐτῷ τὸ αὐτὸ, ὅ, τε κινεῖται, καὶ πρὸς ὃ ἀποστηρίζεται· ἔξωθεν δὲ ὠθῶν, ἢ ἕλκων κινεῖ. οὐδὲν γὰρ μέρος ἡ γῆ τοῦ πλοίου.

## ΚΕΦΑΛ. γ'.

Ὅτι ἀδύνατον κινεῖσθαι τὸν οὐρανὸν ὑπό τινος τῶν ἐντός.

C ΑΠορήσειε δ' ἄν τις, ἆρ' εἴ τι κινεῖ τὸν ὅλον οὐρανὸν, εἶναί τε δεῖ ἀκίνητον, καὶ τοῦτο μηδὲν εἶναι τοῦ οὐρανοῦ μόριον, μηδ' ἐν τῷ οὐρανῷ. εἴτε γὰρ αὐτὸ κινούμενον κινεῖ αὐτὸν, ἀνάγκη τινὸς ἀκινήτου θιγγάνον κινεῖν, καὶ τοῦτο μηδὲν εἶναι μόριον τοῦ κινοῦντος· εἴτ' εὐθὺς ἀκίνητόν ἐστι τὸ κινοῦν, ὁμοίως οὐδὲν ἔσεσθαι τοῦ κινουμένου μόριον. καὶ τοῦτό γ' ὀρθῶς λέγουσιν, ὅτι κύκλῳ φερομένης τῆς σφαίρας, οὐδ' ὁτιοῦν μένει μόριον. ἢ γὰρ ὅλην ἀναγκαῖον μένειν ἂν, ἢ διασπᾶσθαι τὸ συνεχὲς D αὐτῆς. ἀλλ' ὅτι τοὺς πόλους οἴονταί τινα δύναμιν ἔχειν, οὐθὲν ἔχοντας μέγεθος, ἀλλ' ὄντας ἔσχατα καὶ στιγμὰς, οὐ καλῶς. πρὸς γὰρ τὸ μηδεμίαν οὐσίαν εἶναι τῶν τοιούτων μηδενὸς, καὶ κινεῖσθαι μίαν κίνησιν ὑπὸ δυοῖν, ἀδύνατον. τοὺς δὲ πόλους δύο ποιοῦσιν. ὅτι μὲν οὖν ἔχει τι καὶ πρὸς τὴν ὅλην φύσιν οὕτως, ὥσπερ ἡ γῆ πρὸς τὰ ζῷα, καὶ τὰ κινούμενα δι' αὑτῶν, ἐκ τῶν τοιούτων ἄν τις διαπορήσειεν.
E * οἱ δὲ μυθικοὶ τὸν Ἄτλαντα ποιοῦντες ἐπὶ τῆς γῆς ἔχοντα τοὺς πόδας, δόξαιεν ἂν ἀπὸ διανοίας εἰρηκέναι τὸν μῦθον ὡς τοῦτον ὥσπερ διάμετρον ὄντα, καὶ στρέφοντα τὸν οὐρανὸν περὶ τοὺς πόλους. τοῦτο δ' ἂν συμβαίνοι κατὰ λόγον, διὰ τὸ τὴν γῆν μένειν, ἀλλὰ τοῖς ταῦτα λέγουσιν ἀναγκαῖον φάναι, μηδὲν εἶναι μόριον αὐτὴν τοῦ παντός. πρὸς δὲ τούτοις δεῖ τὴν ἰσχὺν ἰσάζειν τοῦ κινοῦντος, καὶ τὴν τοῦ μένοντος. ἔστι γὰρ τὸ πλῆθος ἰσχύος καὶ δυνάμεως, καθ' ἣν μένει τὸ μένον.

γρ. οἱ δὲ μυθικῶς

ὥσπερ καὶ καθ' ἣν κινεῖ τὸ κινούμενον· καὶ ἔστι τις ἀναλογία ἐξ ἀνάγκης, ὥσπερ τῶν ἐναντίων κινήσεων, οὕτω καὶ τῶν ἠρεμιῶν. καὶ αἱ μὲν ἴσαι, ἀπαθεῖς ὑπ' ἀλλήλων, κρατοῦνται δὲ κατὰ τὴν ὑπεροχήν. διόπερ εἴτε Ἄτλας, εἴτε τι τοιοῦτόν ἐστιν ἕτερον τὸ κινοῦν τῶν ἐντός, οὐδὲν μᾶλλον* ἀντερεῖν δεῖ τῆς μονῆς ἣν ἡ γῆ τυγχάνει μένουσα· ἢ κινηθήσεται ἡ γῆ ἀπὸ τοῦ μέσου, καὶ ἐκ τοῦ αὐτῆς τόπου. ὡς γὰρ τὸ ὠθοῦν ὠθεῖ, οὕτω τὸ ὠθούμενον ὠθεῖται· καὶ ὁμοίως κατ' ἰσχύν. κινεῖ δὲ τὸ ἠρεμοῦν πρῶτον· ὥστε μᾶλλον καὶ πλείων ἡ ἰσχὺς, ἢ ὁμοία καὶ ἴση τῆς ἠρεμίας. ὡσαύτως δὲ καὶ ἡ τοῦ κινουμένου μὲν, μὴ κινοῦντος δέ. τοσαύτην δὲ δεήσει τὴν δύναμιν εἶναι τῆς γῆς ἐν τῷ ἠρεμεῖν, ὅσην ὅ, τε πᾶς οὐρανὸς ἔχει, καὶ τὸ κινοῦν αὐτόν. εἰ δὲ τοῦτο ἀδύνατον, ἀδύνατον καὶ τὸ κινεῖσθαι τὸν οὐρανὸν ὑπό τινος τοιούτου τῶν ἐντός.

Quid. ἀντερείδειν

A sicut qua motor mouet. Et profectò quædam necessariò est proportio, vt contrariorum motuum, sic etiam ipsarum quietum. Et quæcumque sunt æquales, à se inuicem non patiuntur, per exuperantiam autem vincuntur. Quamobrem siue Atlas, siue aliud quippiam sit quod mouet, ex iis quæ intrà continentur, nihilo magis excellere debet quietem qua terra manet, vel de medio, suóque ipsius loco mouebitur terra. Vt enim impellens impellit, sic impulsum impellitur, & similiter vt est robur. Mouet autem primum quiescens, iccirco maius & valentius robur, B aut simile & æquale quieti. Eodémque modo rei motæ, quæ tamen non mouet. Tantam igitur in quiescendo terræ facultatem esse oportebit, quantam tum vniuersum habet cœlum, tum illius motor. Quòd si hoc fieri non potest, neque vt cœlum à quopiam quod intus sit moueatur, fieri poterit.

## ΚΕΦΑΛ. δ'.

Ἀπορίαι περὶ τῆς κινήσεως τῶν τοῦ οὐρανοῦ μορίων, καὶ τῆς τῶν ζώων καὶ τῶν ἀψύχων.

ΕΣΤΙ δέ τις ἀπορία περὶ τῆς κινήσεως τῶν τοῦ οὐρανοῦ μορίων, ἣν ὡς οὖσαν οἰκείαν τοῖς εἰρημένοις, ἐπισκέψαιτ' ἄν τις. ἐὰν γάρ τις ὑπερβάλλῃ τῇ δυνάμει τῆς κινήσεως τὴν τῆς γῆς ἠρεμίαν, δῆλον ὅτι κινήσει αὐτὴν ἀπὸ τοῦ μέσου. καὶ ἡ ἰσχὺς δὲ ἀφ' ἧς αὕτη ἡ δύναμις, ὅτι οὐκ ἄπειρος, φανερόν. οὐδὲ γὰρ ἡ γῆ ἄπειρος· ὥστ' οὐδὲ τὸ βάρος αὐτῆς. ἐπεὶ δὲ τὸ ἀδύνατον λέγεται πλεοναχῶς· (οὐ γὰρ ὡσαύτως τήν τε φωνὴν ἀδύνατόν φαμεν εἶναι ὁραθῆναι, καὶ τοὺς ἐπὶ τῆς σελήνης ὑφ' ἡμῶν· τὸ μὲν γὰρ ἐξ ἀνάγκης, τὸ δὲ πεφυκὸς ὁρᾶσθαι, οὐκ ὀφθήσεται.) τὸν δὲ οὐρανὸν ἄφθαρτον εἶναι καὶ ἀδιάλυτον, οἰόμεθα μὲν ἐξ ἀνάγκης εἶναι· συμβαίνει δὲ κατὰ τοῦτον τὸν λόγον, οὐκ ἐξ ἀνάγκης· πέφυκε γὰρ καὶ ἐνδέχεται εἶναι κίνησιν μείζω, καὶ ἀφ' ἧς ἠρεμεῖ ἡ γῆ, καὶ ἀφ' ἧς κινεῖται τὸ πῦρ καὶ τὸ ἄνω σῶμα. εἰ μὲν οὖν εἰσιν αἱ ὑπερέχουσαι κινήσεις, διαλυθήσεται ταῦτα ὑπ' ἀλλήλων. εἰ δὲ μὴ εἰσὶ μὲν, ἐνδέχεται δ' εἶναι· (ἄπειρον γὰρ οὐκ ἐνδέχεται, διὰ τὸ μηδὲ σῶμα ἐνδέχεσθαι ἄπειρον εἶναι·) ἐνδέχοιτ' ἂν διαλυθῆναι τὸν οὐρανόν. τί γὰρ κωλύει τοῦτο συμβῆναι, εἴπερ μὴ ἀδύνατον; οὐκ ἀδύνατον δὲ, εἰ μὴ τἀντικείμενον ἀναγκαῖον.

## CAPVT IV.

C

*Dubitationes aliquot de motu cœli: item de motu animalium & rerum inanimatarum.*

EST autem dubitatio quædam de partium cœli motibus: quæ quoniam iis quæ dicta sunt, est cognata, non ab re hoc in loco perscrutari poterit. Nam si quis motionis potentia terræ quietem excesserit, manifestum sanè est, quòd illam mouebit è medio. Quòd autem robur, à quo illi isthæc inest potentia, D non est infinitum, clarum est: neque enim infinita est ipsa terra: quamobrem neque illius grauitas. Quoniam autem impossibile multipliciter dicitur; (non enim eodem modo impossibile esse dicimus, vocem videri à nobis, & illos qui in orbe sunt lunæ; cùm alterum ex necessitate sit, alterum autem quamuis natum sit videri, non tamen videbitur;) cœlum verò incorruptibile & non dissolubile, arbitramur quidem ex necessitate esse, hac verò ratione non ex necessi- E tate contingit. Natus etenim est, & contingit fieri motus maior, quàm à quo quiescit terra, & à quo ignis & supremum corpus mouetur. Itaque si exuperantes fuerint motiones, isthæc à se inuicem dissoluentur. Sin verò tales quidem non fuerint, illas autem esse contigerit, (infinitum enim non contingit, quoniam neque infinitum esse contingit corpus) cõtinget sanè dissolui cœlum. Quid enim prohibet hoc accidere posse, siquidem non est impossibile? Non est autem impossibile, nisi contrarium fuerit necessarium.

Verùm de huiusmodi dubitatione alius sanè erit sermo. Vtrùm autem oporteat extra id quod mouetur, immotum quiddam esse & quiescens, quod nulla illius existat pars? an secus? Et hoc vtrùm ita se habere in ipso vniuerso est necessarium? Fortasse enim videri poterit inconueniens esse, si motionis principium intus sit. Quamobrem ita existimantibus, videri poterit rectè ab Homero fuisse dictum:

*Sed vobis nunquam cœlo deducere ab alto*
*Ad terram dabitur summúmque sciúmque Tonantem:*
*Non si peruigili studio, multóque labore,*
*Diíque deæque omnes pariter trahere inde velitis.*

Quod enim omnino immobile est, à nullo moueri contingit. Vnde etiam iam dicta soluitur difficultas, an contingit cœli compositionem dissolui, vel non contingit: siquidem ex immobili dependet principio. In animalibus autem non modo ita immobile quiddam esse oportet, sed in iis etiam quæ per locum mouentur, quæcumque seipsa mouent. illorum enim aliud quidem moueri, aliud autem quiescere oportet, ad quod innisum motum mouebitur, vt si aliqua partium moueat. innititur enim altera, ceu ad quiescentem alteram. De iis verò quæ carent anima, quæcumque mouentur, dubitare quispiam poterit, vtrùm omnia in se habeant & quiescens, & mouens, & ad quippiam extra quiescentium necessariò innitantur: an impossibile, vt ignis vel terra, vel aliquid aliud quod anima caret, sed à quibus primis hæc mouentur. Inanima namque omnia ab alio mouentur. Omnium autem ita motorum principium sunt, quæ seipsa mouent. Verùm de eiusmodi in animalibus quidem dictum est. Hæc namque omnia & in seipsis habere quiescens necesse est, & extrà ad quod innitantur. Si autem aliquid est superius & primum mouens, non est manifestum, & de huiusmodi principio alius est sermo. omnia verò quæ mouentur, ad ea quæ extrà sunt innisa mouentur, & cùm spirant, & cùm expirant. Nihil enim refert, magnum proiicere pondus, an paruum: quod sanè faciunt qui despuunt, & qui tussiunt & expirant.

## CAPVT V.

*Vtrùm in iis quæ per locum mouentur, aliquid extra quiescere oporteat nécne: & an eodem modo in iis etiam quæ augentur & alterantur, fieri contingat.*

VTrùm autem in eo solùm quod seipsum per locum mouet, quippiam



ἀλλὰ περὶ μὲν τῆς ἀπορίας ταύτης ἕτερος ἔσται λόγος. ἆρα δὲ δεῖ [ἀεὶ καὶ] ἀκίνητόν τι εἶναι, καὶ ἠρεμοῦν ἔξω τοῦ κινουμένου, μηδὲν ὂν ἐκείνου μόριον, ἢ οὔ; καὶ τοῦτο, πότερον καὶ ἐπὶ τοῦ παντὸς οὕτως ὑπάρχειν ἀναγκαῖον; ἴσως γὰρ ἂν δόξειεν ἄτοπον εἶναι, εἰ ἡ ἀρχὴ τῆς κινήσεως ἐντός. διὸ δόξειεν ἂν τοῖς οὕτως ὑπολαμβάνουσιν, εὖ εἰρῆσθαι Ὁμήρῳ,

Ἀλλ᾽ οὐκ ἂν ἐρύσαιτ᾽ ἐξ οὐρανόθεν πεδίονδε, Ἰλιάδ. θ.
Ζῆν᾽ ὕπατον μήστωρ᾽, οὐδ᾽ εἰ μάλα πολλὰ κάμοιτε,
Πάντες δ᾽ ἐξάπτεσθε θεοί, πᾶσαί τε θέαιναι.

τὸ μὲν ὅλως ἀκίνητον, ὑπ᾽ οὐδενὸς ἐνδέχεται κινηθῆναι· (ὅθεν λύεται καὶ ἡ πάλαι λεχθεῖσα ἀπορία, πότερον ἐνδέχεται, ἢ οὐκ ἐνδέχεται διαλυθῆναι τὴν τοῦ οὐρανοῦ σύστασιν, εἰ ἐξ ἀκινήτου ἤρτηται ἀρχῆς·) ἐπὶ δὲ τῶν ζῴων οὐ μόνον τὸ οὕτως ἀκίνητον δεῖ ὑπάρχειν, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς κινουμένοις κατὰ τόπον, ὅσα κινεῖ αὐτὰ αὑτά. δεῖ γὰρ αὐτῶν, τὸ μὲν κινεῖσθαι, τὸ δὲ ἠρεμεῖν, πρὸς ὃ ἀπερειδόμενον τὸ κινούμενον κινήσεται. οἷον ἄν τι κινῇ τῶν μορίων. * ἀπερείδεται γὰρ θάτερον ὡς * πρὸς μένον θάτερον. Περὶ δὲ τῶν ἀψύχων ὅσα κινεῖται, ἀπορήσειεν ἄν τις, πότερον ἅπαντ᾽ ἔχει ἐν ἑαυτοῖς καὶ τὸ ἠρεμοῦν καὶ τὸ κινοῦν, καὶ πρὸς τῶν ἔξω τι ἀπερείδεσθαι, ἠρεμούντων, ἀνάγκη καὶ ταῦτα, ἢ ἀδύνατον. οἷον πῦρ, ἢ γῆν, ἢ τῶν ἀψύχων τι ἄλλ᾽, ὑφ᾽ ὧν ταῦτα κινεῖται πρώτων. πάντα γὰρ ὑπ᾽ ἄλλου κινεῖται τὰ ἄψυχα. ἀρχὴ δὲ πάντων τῶν οὕτως κινουμένων τὰ αὐτὰ αὑτὰ κινοῦντα. τῶν δὲ τοιούτων, περὶ μὲν τῶν ζῴων εἴρηται. τὰ γὰρ τοιαῦτα πάντα, ἀνάγκη καὶ ἐν αὑτοῖς ἔχειν τὸ ἠρεμοῦν, καὶ ἔξω πρὸς ὃ ἀπερείδεται. Εἰ δέ τί ἐστιν ἀνώτερον καὶ πρῶτον κινοῦν, ἄδηλον, καὶ ἄλλος λόγος περὶ τῆς τοιαύτης ἀρχῆς. τὰ δὲ ζῷα ὅσα κινεῖται, πάντα πρὸς τὰ ἔξω ἀπερειδόμενα κινεῖται, καὶ ἀναπνέοντα, καὶ ἐκπνέοντα. οὐδὲ γὰρ διαφέρει μέγα ῥῖψαι βάρος ἢ μικρόν· ὅπερ ποιοῦσιν οἱ πτύοντες, καὶ οἱ βήττοντες, καὶ οἱ εἰσπνέοντες καὶ ἐκπνέοντες.

γρ. ἀπερείδεσθαι
γρ. πρεσ-μένον θ.

## ΚΕΦΑΛ. ε´.

Πότερον ἐν τῷ αὐτὸ κινοῦντι κατὰ τόπον μόνῳ δεῖ τι μένειν, ἢ καὶ ἐν τῷ ἀλλοιουμένῳ αὐτῷ ὑφ᾽ αὑτοῦ καὶ αὐξανομένῳ.

ΠΟτερον δ᾽ ἐν τῷ αὐτὸ κινοῦντι κατὰ τόπον, * μόνῳ δεῖ τι μένειν, ἢ καὶ ἐν τῷ ἀλλοιου- γρ. μόνον

μένω αὐτῷ ὑφ' αὑτοῦ καὶ αὐξανομένῳ; περὶ δὲ γενέσεως τῆς ἐξ ἀρχῆς καὶ τῆς φθορᾶς ἄλλος λόγος. εἰ γάρ ἐστιν ἥνπερ φαμὲν πρώτη κίνησις γενέσεως καὶ φθορᾶς, αὕτη αἰτία ἂν εἴη, καὶ τῶν ἄλλων δὲ κινήσεων ἴσως πασῶν. ὥσπερ δὲ ἐν τῷ ὅλῳ, καὶ ἐν τῷ ζώῳ κίνησις πρώτη αὕτη, ὅταν τελεωθῇ· ὥστε καὶ αὐξήσεως, εἴ ποτε γίνηται, αὐτὸ αὑτῷ αἴτιον καὶ ἀλλοιώσεως, εἰ δὲ μὴ, οὐκ ἀνάγκη. αἱ δὲ πρῶται αὐξήσεις καὶ ἀλλοιώσεις, ὑπ' ἄλλου γίνονται, καὶ δι' ἑτέρων· γενέσεως δὲ καὶ φθορᾶς, οὐδαμῶς οἷόν τε αὐτὸ αἴτιον εἶναι αὑτῷ οὐδέν. προϋπάρχειν γὰρ δεῖ τὸ κινοῦν τοῦ κινουμένου, καὶ τὸ γεννῶν τοῦ γεννωμένου· αὐτὸ δὲ αὑτοῦ πρότερον οὐδέν ἐστι.

A quieſcere oportet, an etiam in iis quæ ex ſeipſis alterantur, & augeſcunt? Namque de prima generatione & corruptione alius eſt ſermo. Si enim eſt is quem diximus primus motus, generationis & corruptionis profectò is erit cauſa, nec non aliarum fortaſſe omnium motionum. Quemadmodum autem in vniuerſo, ita in ipſo animali prima iſthæc motio, poſtquam fuerit abſolutum. Quamobrem & augmenti, ſi quid eſt, ſibiipſi erit cauſa, & alterationis: ſin ſecus, non eſt neceſſarium. Primæ autem augmentationes & alterationes ab alio, & B per alia fiunt: generationis autem & corruptionis minimè ſibi ipſi quippiam cauſa eſſe poteſt. Præcurrere enim debet motor id quod mouetur, & genitum generans, nihil autem ſeipſo eſt prius.

## ΚΕΦΑΛ. ϛ'.

Περὶ ψυχῆς, πῶς κινεῖ τὸ σῶμα· καὶ τίς ἀρχὴ τῆς τοῦ ζώου κινήσεως. τί ὅμοιον, τί δὲ διάφορον τῇ τοῦ οὐρανοῦ καὶ τῇ τῶν ζώων κινήσει.

ΠΕΡΙ μὲν οὖν ψυχῆς, εἴτε κινεῖται ἢ μὴ, καὶ εἰ κινεῖται, πῶς κινεῖται, πρότερον εἴρηται ἐν τοῖς διωρισμένοις περὶ αὐτῆς. ἐπεὶ δὲ τὰ ἄψυχα πάντα κινεῖται ὑφ' ἑτέρων, ( περὶ μὲν τοῦ πρώτου κινουμένου, καὶ ἀεὶ κινουμένου, τίνα τρόπον κινεῖται, καὶ πῶς κινεῖ τὸ πρώτως κινοῦν, διώρισται πρότερον ἐν τοῖς περὶ τῆς πρώτης φιλοσοφίας. ) Λοιπὸν δή ἐστι θεωρῆσαι πῶς ἡ ψυχὴ κινεῖ τὸ σῶμα, καὶ τίς ἀρχὴ τῆς τοῦ ζώου κινήσεως. τῶν γὰρ ἄλλων παρὰ τὴν τοῦ ὅλου κίνησιν, τὰ ἔμψυχα αἴτια τῆς κινήσεως, ὅσα μὴ κινεῖται ὑπ' ἀλλήλων, διὰ τὸ προσκόπτειν ἀλλήλοις· διὸ καὶ πέρας ἔχουσιν αὐτῶν πᾶσαι αἱ κινήσεις· καὶ γὰρ καὶ αἱ τῶν ἐμψύχων. πάντα γὰρ τὰ ζῶα καὶ κινεῖ καὶ κινεῖται ἕνεκά τινος. ὥστε τοῦτ' ἔστιν αὐτοῖς πάσης [ τῆς ] κινήσεως πέρας, τὸ οὗ ἕνεκα. ὁρῶμεν δὲ καὶ τὰ κινοῦντα τὸ ζῶον, διάνοιαν, [ καὶ αἴσθησιν, ] καὶ φαντασίαν, καὶ προαίρεσιν, καὶ βούλησιν, [ καὶ θυμὸν, ] καὶ ἐπιθυμίαν· ταῦτα δὲ πάντα ἀνάγεται εἰς νοῦν καὶ ὄρεξιν. καὶ γὰρ ἡ φαντασία καὶ ἡ αἴσθησις, τὴν αὐτὴν τῷ νῷ χώραν ἔχουσι· κριτικὰ γὰρ πάντα. διαφέρουσι δὲ κατὰ τὰς εἰρημένας ἐν ἄλλοις διαφοράς. βούλησις δὲ, καὶ θυμὸς, καὶ ἐπιθυμία, πάντα ὄρεξις· ἡ δὲ προαίρεσις, κοινὸν διανοίας καὶ ὀρέξεως· ὥστε καὶ τὸ προαιρετόν. οὐ πᾶν δὲ τὸ διανοητὸν, προαιρετὸν, ἀλλὰ τὸ τῶν πρακτῶν τέλος. διὸ τὸ τοιοῦτόν ἐστι τῶν ἀγαθῶν, τὸ κινοῦν· ἀλλ' οὐ πᾶν τὸ καλόν. ἢ γὰρ ἕνεκα τούτου ἄλλο

## CAPVT VI.

*Quonam modo corpora moueat anima: quæ ſit differentia inter motum cæli & animalium.*

DE anima autem, ſiue moueatur, ſiue non: &, ſi mouetur, quo moueatur modo, priùs dictum eſt in iis in quibus de C illa eſt pertractatum. Quoniam verò inanima omnia ab aliis mouentur; ( nam de primo quidem & perpetuo mobili, quonam moueatur modo, quóve pacto moueat primum mouens, in primis philoſophiæ commentariis determinatum eſt prius: ) Reliquum eſt contemplari quomodo anima corpus mouet, & quódnam animalium motionis ſit principium. Animata enim præterquam ipſius vniuerſi motionis, aliorum ſanè motus ſunt cauſæ, quæcumque à ſe inuicem non mouentur, D quoniam ſe inuicem impellunt. Quapropter omnes illorum motiones finem habent. nam & illæ animatorum ſunt eiuſmodi. Omnia enim animalia cùm mouent, tum mouentur alicuius gratiâ. quapropter id illis omnium motionum eſt finis, cuius videlicet gratiâ. Animaduertimus autem, cogitationem, phantaſiam, ſelectionem, voluntatem, & cupiditatem animal mouere: hæc autem omnia ad mentem referuntur, & appetitionem. phantaſia E enim & ſenſus cum mente eundem habent locum, cùm iudicandi habeant facultatem. Attamen iis diſtant, quæ in aliis dictæ ſunt, differentiis. Voluntas verò & ira & cupiditas, omnia cum appetitione faciunt. Selectio autem communis eſt cogitationis & appetitionis, quapropter & ipſum quod ſeligi poteſt. Non autem omne excogitabile, ſeligibile eſt, ſed rerum agendarum finis. Quamobrem tale eſt bonorum id quod mouet, ſed non omne pulchrum. Vt enim huius gratiâ eſt aliud,

& vt est finis, cùm alia alicuius gratiâ existant, eatenus mouet. Oportet autem constituere, id quod apparet bonum, boni etiam locum obtinere, & ipsum iucūdum, quandoquidem apparet bonum. Quare palàm est, quòd contingit quidem, id quod semper mouetur, à semper mouente similiter moueri, vt singula animalia. contingit autem vt alio modo: & idcirco illud quidem semper mouetur, animalium autem motus terminum habet. Sempiternum autem pulchrum, & id quod verè & primò est bonum, neque modò quidem est, modo verò non est; diuinius profectò honorabiliúsque est, quàm vt illo quicquam sit prius. Primum igitur immotum mouet: appetitio autem, & id quod appetibile est, mota mouent. Vltimum autem eorum quæ mouentur, quod aliud moueat, nulla est necessitas. Manifestum etiam ex iis est, quòd rationabiliter localis motus vltimus est factorum in iis quę fiunt. Mouetur enim & ingreditur animal appetitione, vel selectione: alteratione tamen facta aliqua per sensum, aut phantasiam.

## CAPVT VII.

*De duplicis intellectus practici & theorici affectu, & quid differant.*

QVomodo autem intelligens aliàs quidem operatur, aliàs verò non operatur? & mouetur interdum, interdum non mouetur? Eodem sanè modo contingere videtur, quo ea quæ immota sunt, cogitatione ratiocinationéque comprehenduntur. Verùm in illis quidem contemplatio est finis. Cùm enim duas intellexerit propositiones, conclusionem sanè intellexit & coniunxit. Hîc autem ex duabus propositionibus conclusio fit operatio. verbi gratia: cùm nouerit, quoniam omni deambulandum est homini, ipse est homo, illico deambulat. Si autem quòd nulli nunc incedendum est homini, ipse autem homo, confestim quiescit: & vtrumque facit, nisi à quopiam prohibeatur, aut cogatur. Commoda res est mihi facienda, domus commoda est, domum confestim facit. Integumento corporis indigeo, tunica est corporis integumentum, tunica indigeo. quo indigeo, id mihi faciendum: tunica indigeo: tunica est mihi facienda. Et ea conclusio, tunica mihi facienda, operatio est. Operatur autem à principio: Si tunica esse debet, necessarium est esse primum. Si autem illud, & aliud: & id illico operatur. Quòd quidem operatio sit conclusio, manifestum. Propositiones autem factitiæ ex duobus constāt generibus,

A καὶ ᾗ τέλος ἐστὶ τῶν ἄλλων τινὸς ἕνεκα ὄντων, ταύτῃ κινεῖ. δεῖ δὲ τιθέναι καὶ τὸ φαινόμενον ἀγαθὸν, ἀγαθοῦ χώραν ἔχειν, καὶ τὸ ἡδύ. φαινόμενον γάρ ἐστιν ἀγαθόν. ὥστε δῆλον ὅτι ἔστι μὲν ᾗ ὁμοίως κινεῖται τὸ ἀεὶ κινούμενον, ὑπὸ τοῦ ἀεὶ κινοῦντος, καὶ τῶν ζώων ἕκαστον· ἔστι δὲ ᾗ ὡς ἄλλως. διὸ καὶ τὰ μὲν ἀεὶ κινεῖται, ἡ δὲ τῶν ζώων κίνησις ἔχει πέρας· τὸ δὲ ἀΐδιον, καλὸν, καὶ τὸ * ἀληθῶς καὶ πρῶτον ἀγαθόν. καὶ γρ. B μὴ ποτὲ μὲν, ποτὲ δὲ μὴ· θειότερον καὶ τιμιώτερον, ἢ ὥστ' εἶναί [τι] πρότερον. τὸ μὲν οὖν πρῶτον, οὐ κινούμενον κινεῖ· ἡ δὲ ὄρεξις καὶ τὸ ὀρεκτικὸν, κινούμενον κινεῖ. τὸ δὲ τελευταῖον τῶν κινουμένων, οὐκ ἀνάγκη κινεῖν οὐδέν. φανερὸν δὲ ἐκ τούτων, καὶ ὅτι εὐλόγως ἡ φορὰ τελευταία τῶν γινομένων ἐν τοῖς γινομένοις. κινεῖται γὰρ καὶ πορεύεται τὸ ζῶον ὀρέξει ἢ προαιρέσει, ἀλλοιωθέντος τινὸς κατὰ τὴν αἴσθησιν ἢ τὴν φαντασίαν.

C

## ΚΕΦΑΛ. ζ.

Ὅτι ἡ νοῶν τὶς ὁτὲ μὲν πράττει, ὁτὲ δὲ οὐ πράττει· καὶ κινεῖται, ὁτὲ δὲ οὐ κινεῖται, καὶ πῶς τοῦτο γίνεται.

ΠΩΣ δὲ νοῶν, ὁτὲ μὲν πράττει, ὁτὲ δὲ οὐ πράττει; καὶ κινεῖται, ὁτὲ δὲ οὐ κινεῖται; ἔοικε δὲ παραπλησίως συμβαίνειν καὶ περὶ τῶν ἀκινήτων διανοουμένοις καὶ συλ- D λογιζομένοις. ἀλλ' ἐκεῖ μὲν θεώρημα τὸ τέλος. (ὅταν γὰρ τὰς δύο προτάσεις νοήσῃ, τὸ συμπέρασμα ἐνόησε καὶ συνέθηκεν·) ἐνταῦθα δὲ ἐκ τῶν δύο προτάσεων τὸ συμπέρασμα γίνεται πρᾶξις· οἷον ὅταν νοήσῃ, ὅτι παντὶ βαδιστέον ἀνθρώπῳ, αὐτὸς δὲ ἄνθρωπος, βαδίζει εὐθέως. ἂν δὲ ὅτι οὐδενὶ βαδιστέον νῦν ἀνθρώπῳ, αὐτὸς δὲ ἄνθρωπος, εὐθὺς ἠρεμεῖ. καὶ ταῦτα ἄμφω πράττει, ἂν μή τι κωλύῃ, ἢ ἀναγκάζῃ. ποιητέον μοι ἀγαθόν· οἰκία δὲ ἀγαθόν· ποιεῖ E οἰκίαν εὐθύς. σκεπάσματος δέομαι· ἱμάτιον δὲ σκέπασμα· ἱματίου δέομαι· οὗ δέομαι, ποιητέον· ἱματίου δέομαι· ἱμάτιον ποιητέον. καὶ τὸ συμπέρασμα, τὸ ἱμάτιον ποιητέον, πρᾶξίς ἐστι. πράττει δὲ ἀπ' ἀρχῆς. εἰ ἱμάτιον ἔσται, ἀνάγκη εἶναι τὸ πρῶτον. εἰ δὲ τόδε, τόδε· καὶ τοῦτο πράττει εὐθύς. ὅτι μὲν οὖν ἡ πρᾶξις τὸ συμπέρασμα, φανερόν. αἱ δὲ προτάσεις αἱ ποιητικαὶ, διὰ δύο εἰδῶν γίνονται,

διά τε τοῦ ἀγαθοῦ, καὶ διὰ τοῦ δυνατοῦ. ὥσπερ δὲ τῶν ἐρωτώντων ἔνιοι, οὕτω τὴν ἑτέραν πρότασιν τὴν δήλην, οὐδ' ἡ διάνοια ἐφεστῶσα, σκοπεῖ οὐδέν· οἷον, εἰ τὸ βαδίζειν ἀγαθὸν ἀνθρώπῳ, ὅτι αὐτὸς ἄνθρωπος, οὐκ ἐνδιατρίβει. διὸ καὶ ὅσα ἄλλα μὴ λογισάμενοι πράττομεν, ταχὺ πράττομεν. ὅταν γὰρ ἐνεργήσῃ, ἢ τῇ αἰσθήσει πρὸς τὸ οὗ ἕνεκα, ἢ τῇ φαντασίᾳ, ἢ τῷ νῷ οὗ ὀρέγεται, εὐθὺς ποιεῖ. ἀντ' ἐρωτήσεως γὰρ ἢ νοήσεως, ἡ τῆς ὀρέξεως γίνεται ἐνέργεια. ποτέον μοι, ἡ ἐπιθυμία λέγει· τοδὶ δὲ ποτόν, ἡ αἴσθησις εἶπεν, ἢ ἡ φαντασία, ἢ ὁ νοῦς· εὐθὺς πίνει. οὕτως μὲν οὖν ἐπὶ τὸ κινεῖσθαι καὶ πράττειν τὰ ζῷα ὁρμῶσι· τῆς μὲν ἐσχάτης αἰτίας τοῦ κινεῖσθαι, ὀρέξεως οὔσης· ταύτης δὲ γινομένης ἢ δι' αἰσθήσεως, ἢ διὰ φαντασίας καὶ νοήσεως. τῶν δὲ ὀρεγομένων πράττειν, τὰ μέν, δι' ἐπιθυμίαν ἢ θυμόν· τὰ δέ, δι' ὄρεξιν ἢ βούλησιν· τὰ μὲν ποιοῦσι, τὰ δὲ πράττουσιν. ὥσπερ δὲ τὰ αὐτόματα κινεῖται, μικρᾶς κινήσεως γινομένης λυομένων τῶν στρεβλῶν, καὶ * κρουόντων ἀλλήλας τὰς στρέβλας, καὶ τὸ ἁμάξιον, ὅπερ ὀχούμενον αὐτό, κινεῖ εὐθύ, καὶ πάλιν κύκλῳ κινεῖται, τῷ ἀνίσους ἔχειν τοὺς τροχούς· (ὁ γὰρ ἐλάττων, ὥσπερ κέντρον γίνεται, καθάπερ ἐν τοῖς κυλίνδροις·) οὕτω καὶ τὰ ζῷα κινεῖται. ἔχει γὰρ ὄργανα τοιαῦτα τήν τε τῶν νεύρων φύσιν καὶ τὴν τῶν ὀστῶν. τὰ μὲν γάρ, ὡς ἐκεῖ τὰ ξύλα καὶ ὁ σίδηρος· τὰ δὲ νεῦρα, ὡς αἱ στρέβλαι· ὧν λυομένων καὶ ἀνιεμένων, κινοῦνται. ἐν μὲν οὖν τοῖς αὐτομάτοις καὶ ἁμαξίοις, οὐκ ἔστιν ἀλλοίωσις· ἐπεί, εἰ ἐγίνοντο ἐλάττους οἱ ἐντὸς τροχοί, καὶ πάλιν μείζους, κἂν κύκλῳ τὸ αὐτὸ ἐκινεῖτο. ἐν δὲ τῷ ζῴῳ δύναται τὸ αὐτό, καὶ μεῖζον καὶ ἔλαττον γίνεσθαι, καὶ τὰ σχήματα μεταβάλλειν, αὐξανομένων τῶν μορίων διὰ θερμότητα, καὶ πάλιν συστελλομένων διὰ ψύξιν, καὶ ἀλλοιουμένων. ἀλλοιοῦσι δὲ αἱ φαντασίαι καὶ αἱ αἰσθήσεις καὶ αἱ ἔννοιαι. αἱ μὲν γὰρ αἰσθήσεις, εὐθὺς ὑπάρχουσιν ἀλλοιώσεις τινὲς οὖσαι· ἡ δὲ φαντασία, καὶ ἡ νόησις, τὴν τῶν πραγμάτων ἔχουσι δύναμιν. τρόπον γάρ τινα τὸ εἶδος τὸ νοούμενον τὸ τοῦ θερμοῦ ἢ ψυχροῦ, ἢ ἡδέος ἢ φοβεροῦ, τοιοῦτον τυγχάνει ὄν, οἷόνπερ καὶ τῶν πραγμάτων ἕκαστον· διὸ καὶ φρίττουσι καὶ φοβοῦνται, νοήσαντες μόνον. ταῦτα δὲ πάντα πάθη καὶ ἀλλοιώσεις εἰσίν. ἀλλοιουμένων δ' ἐν τῷ σώματι, τὰ μέν, μείζω· τὰ δέ, ἐλάττω γίνεται. ὅτι δὲ μικρὰ μεταβολὴ γινομένη ἐν ἀρχῇ, μεγάλας καὶ πολλὰς ποιεῖ διαφορὰς ἄποθεν, οὐκ ἄδηλον·

Interpt. κρουσῶν ἀ. τὰς στρέβλας, καὶ τὸ ἁ.

De anima l.3. cap. 8.

A ex bono scilicet, & eo quod fieri potest. Quemadmodum autem qui interrogant, sic propositionum alteram, manifestam scilicet, cogitatio haudquaquam insistens considerat: vt si homini deambulare est bonum, quòd ipse sit homo, non immoratur, iccirco quæcumque alia nulla ratiocinatione agimus, celeriter agimus. Quando enim aut sensu operatur ad id cuius gratia, aut phantasia, aut intellectu, quod appetit, confestim facit. Interrogationis namque aut notionis loco, appetitionis fit operatio.

B Bibendum esse mihi dictat cupiditas, hoc autem esse poculentum sensus vel phantasia, vel mens affirmat, confestim bibitur. Ita sanè ad motum & operationem animalia excitantur, cùm vltima motionis causa sit appetitio: quæ tamen vel per sensum, vel per phantasiam & notionem efficitur. Quæcumque autem quippiam facere appetunt, partim quidem cupiditate aut ira, partim verò appetitione aut voluntate faciunt & agunt. Quemadmodum autem spontaneæ

C appellatæ machinæ parua motione facta mouentur, laxatis séque mutuò impellentibus vertebris: & curriculus qui à se quidem vectum rectè mouet, ipse autem rursum circulo mouetur, quoniam inæquales habet rotas: minor enim veluti centrum fit, vt in cylindris: ita & animalia mouentur. Instrumenta namque eiusmodi habent cùm neruorum tum ossium naturam: & hæc quidem tanquam ibi ligna & ferrum, neruos autem vt vertebras, quibus solutis & relaxatis mouentur. Verumtamen in spon-

D taneis quidem illis & curriculis non est alteratio, quoniam si fierent etiam minores interni orbes & rursus maiores, nihilominus idem circulo moueretur. In animali autem idem potest & maius & minus fieri, figurásque permutare, auctis partibus ob caliditatem, & rursus contractis propter frigiditatem, & omnino alteratis. Alterant autem imaginationes & sensus & cogitationes. Sensus enim statim alterationes quædam sunt: imaginatio autem & cogitatio rerum habent

E potestatem. Cogitata enim species calidi siue frigidi, siue suauis, aut formidabilis, quodammodo id existit, qualis vnaquæque est res, & iccirco sola cogitatione perhorrescunt & expauescunt. Omnia autem ista perturbationes sunt, & alterationes. Cùm autem in corpore alterantur, aliæ quidem maiores fiunt, aliæ verò minores. Quòd autem parua mutatio in ipso facta principio, multiplices & magnas in extremo faciat differentias, non est obscurum:

vt temone paululum translato, magna proræ fit transpositio. Caliditate quinetiam vel frigiditate, vel alia eiusmodi affectione, cùm in corde facta fuerit alteratio, etiamsi in exigua & non sensili illius particula, multa sanè in corpore fit differentia, cùm ruboribus & palloribus, tum horroribus & tremoribus, aliisque huiusmodi contrariis.

## CAPVT VIII.

*Quod principium motionis in agendi genere sit id quod est vel optabile, vel fugiendum, quodque calor & frigus eorum cogitationem consequantur.*

PRincipium igitur (vt dictum est) motionis in agendi genere id sanè est, quod consectandum aut declinandum est. Calor autem aut frigus eorum cogitationem & imaginationem necessariò cõsequuntur. Tristificum namque declinandum, iucundum autem consectandum. Verùm isthuc in exiguis valde est obscurum. Sunt autem tristifica & iucunda ferè omnia cum frigiditate & caliditate: quod profectò ex affectionibus est manifestum. Confidentiæ enim & pauores, & venerei motus, reliquáque in corpore tristifica & iucunda, alia quidem in partibus cum caliditate aut frigiditate sunt, alia verò in vniuerso corpore. Memoria autem & spes tanquam simulachris vtentes, iis ipsis, aliàs quidem minùs, aliàs verò magis, eorum sunt causæ. Quapropter rectà ratione constructa sunt quæ intrinsecus iacent, & ad initia instrumentalium partium, vt commutentur, & ex compactis mollia fiant, & ex mollibus compacta, & ex se vicissim cùm leuia tum aspera. Quæ cùm hoc contingant modo, & cùm actiuum & patibile talem habeant naturam, qualem sæpe diximus, quando certè contigerit vt aliud quidem patibile sit, aliud verò actuosum, neutrique desit aliquid, quod ad eorum definitionem requiratur, confestim aliud quidem agit, aliud verò patitur. Quamobrem simul (vt ita dicatur) intelligit quòd incedendum est, & incedit, nisi quippiam obstiterit. Et organicas quidem partes conuenienter affectiones præparant: appetitio autem affectiones: porrò appetitioné imaginatio. Hæc autẽ vel cogitatione vel sensu efficitur. Simul verò & celeriter, quoniam patibile & actiuum eorum de numero sunt, quæ ad se inuicem mutuam habent naturam. Primum autem mouens animal, in aliquo esse principio necesse est. Quòd autem flexus alterius quidẽ initium est, alterius verò finis, iam dictum est.

A διὰ τοῦ οἴακος ἀκαριαίου τι μεθισταμένου, πολλὴ ἡ τῆς πρώρας γίνεται μετάστασις. ἔτι δὲ κατὰ θερμότητα ἢ ψύξιν, ἢ κατ' ἄλλο τοιοῦτον πάθος. ὅταν γὰρ γίνηται ἀλλοίωσις περὶ τὴν καρδίαν, εἰ καὶ ἐν ταύτῃ, κατὰ μέγεθος ἐν ἀναισθήτῳ μορίῳ πολλὴν ποιεῖ τοῦ σώματος διαφορὰν, ἐρυθήμασι καὶ ὠχρότησι, καὶ φρίκαις καὶ τρόμοις, καὶ τῶν τοιούτων ἐναντίων.

## ΚΕΦΑΛ. η'.

B Ὅτι ἀρχὴ τῆς κινήσεως τὸ ἐν τῷ πρακτῷ διωκτὸν καὶ φευκτόν. καὶ ὅτι ἐξ ἀνάγκης ἀκολουθεῖ τῇ νοήσει καὶ τῇ φαντασίᾳ αὐτῶν θερμότης καὶ ψύξις.

ΑΡΧΗ μὲν οὖν (ὥσπερ εἴρηται) τῆς κινήσεως, τὸ ἐν τῷ πρακτῷ διωκτὸν καὶ φευκτόν· ἐξ ἀνάγκης δὲ ἀκολουθεῖ τῇ νοήσει καὶ τῇ φαντασίᾳ αὐτῶν θερμότης καὶ ψύξις. τὸ μὲν γὰρ λυπηρὸν, φευκτόν· τὸ δ' ἡδὺ, διωκτόν. ἀλλὰ λίαν λανθάνει περὶ τὰ μικρὰ τοῦτο
C συμβαῖνον. ἔστι δὲ τὰ λυπηρὰ καὶ ἡδέα πάντα σχεδὸν μετὰ ψύξεώς τινος καὶ θερμότητος. τοῦτο δὲ δῆλον ἐκ τῶν παθημάτων. * θάρρη γὰρ (γρ. θάρρει) καὶ φόβοι, καὶ ἀφροδισιασμοὶ, καὶ τἄλλα σωματικὰ λυπηρὰ καὶ ἡδέα, τὰ μὲν, κατὰ μόριον μετὰ θερμότητος ἢ ψύξεώς ἐστι· τὰ δὲ, καθ' ὅλον τὸ σῶμα. μνῆμαι δὲ καὶ ἐλπίδες, οἷον εἰδώλοις χρώμεναι τοῖς τοιούτοις, ὁτὲ μὲν ἧττον, ὁτὲ δὲ μᾶλλον, αἰτίαι τῶν αὐτῶν εἰσιν. ὥστ' εὐλόγως ἤδη δημιουργεῖται τὰ ἐντὸς, καὶ περὶ τὰς ἀρχὰς τῶν ὀργανικῶν μορίων μετα-
D βάλλοντα, ἐκ πεπηγότων ὑγρὰ, καὶ ἐξ ὑγρῶν πεπηγότα· καὶ μαλακὰ καὶ σκληρὰ, ἐξ ἀλλήλων. τούτων δὲ συμβαινόντων τὸν τρόπον τοῦτον, καὶ ἔτι τοῦ παθητικοῦ καὶ ποιητικοῦ τοιαύτην ἐχόντων τὴν φύσιν, οἵαν πολλαχοῦ εἰρήκαμεν, ὁπόταν συμβῇ, ὥστ' εἶναι τὸ μὲν ποιητικὸν, τὸ δὲ παθητικὸν, καὶ μηδὲν ἀπολείπειν αὐτῶν ἑκάτερον τῶν ἐν τῷ λόγῳ, εὐθὺς τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει. διὰ τοῦτο δὲ
E ἅμα (ὡς εἰπεῖν) νοεῖ ὅτι πορευτέον, καὶ πορεύεται, ἂν μή τι ἐμποδίζῃ ἕτερον. τὰ μὲν [γὰρ] ὀργανικὰ μέρη παρασκευάζει ἐπιτηδείως τὰ πάθη· ἡ δ' ὄρεξις τὰ πάθη, τὴν δ' ὄρεξιν ἡ φαντασία. αὕτη δὲ γίνεται, ἢ διὰ νοήσεως, ἢ δι' αἰσθήσεως. ἅμα δὲ καὶ ταχὺ, διὰ τὸ ποιητικὸν καὶ παθητικὸν, τῶν πρὸς ἄλληλα τὴν φύσιν. τὸ δὲ * κινοῦν πρῶτον τὸ ζῶον, (γρ. κινοῦν ἢ πρ. ζῶον) ἀνάγκη εἶναι ἔν τινι ἀρχῇ. ἡ δὲ καμπὴ, ὅτι τοῦ μὲν ἐστι τοῦ μὲν ἀρχὴ, τοῦ δὲ τελευτὴ, εἴρηται.

διὸ καὶ ἔστι μὲν ὡς ἕν, ἔστι δὲ ὡς δυσὶ χρῆται ἡ φύσις αὐτῇ. ὅταν γὰρ κινῆται ἐντεῦθεν, ἀνάγκη τὸ μὲν ἠρεμεῖν τῶν σημείων τῶν ἐσχάτων, τὸ δὲ κινεῖσθαι. ὅτι γὰρ πρὸς ἠρεμοῦν δεῖ ἀπερείδεσθαι τὸ κινοῦν, εἴρηται πρότερον. κινεῖται μὲν οὖν, καὶ οὐ κινεῖ τὸ ἔσχατον τοῦ βραχίονος. τῆς δὲ ἐν τῷ ὠλεκράνῳ κάμψεως τὸ μὲν κινεῖται τὸ ἐν αὐτῷ τῷ ὅλῳ κινουμένῳ. ἀνάγκη δὲ εἶναί τι καὶ ἀκίνητον· ὃ δή φαμεν, δυνάμει μὲν ἓν εἶναι σημεῖον, ἐνεργείᾳ δὲ γίνεσθαι δύο· ὥστ᾽ εἰ τὸ ζῶον ἦν βραχίων, ἐνταῦθα ἄν που ἦν ἡ ἀρχὴ τῆς ψυχῆς ἡ κινοῦσα. ἐπεὶ δὲ ἐνδέχεται καὶ πρὸς τὴν χεῖρα *ἔχοντι οὕτως τῶν ἀψύχων, οἷον εἰ κινοίη τὴν βακτηρίαν ἐν τῇ χειρί, φανερὸν ὅτι οὐκ ἂν ἦν ἐν οὐδετέρῳ ἡ ψυχὴ τῶν ἐσχάτων, οὔτε ἐν τῷ ἐσχάτῳ τοῦ κινουμένου, οὔτε ἐν τῇ ἑτέρᾳ ἀρχῇ. καὶ γὰρ τὸ ξύλον ἔχει καὶ ἀρχὴν καὶ τέλος πρὸς τὴν χεῖρα. ὥστε διά γε τοῦτο, εἰ μὴ ἐν τῇ βακτηρίᾳ ἡ κινοῦσα ἀπὸ τῆς ψυχῆς ἀρχὴ ἔνεστιν, οὐδὲ ἐν τῇ χειρί. ὁμοίως γὰρ ἔχει καὶ τὸ ἄκρον τῆς χειρὸς πρὸς τὸν καρπόν· καὶ τοῦτο τὸ μέρος πρὸς τὸ ὠλέκρανον. οὐδὲν γὰρ διαφέρει τὰ προσπεφυκότα τῶν μή. γίνεται γὰρ ὥσπερ ἀφαιρετὸν μέρος ἡ βακτηρία. ἀνάγκη ἄρα ἐν μηδεμιᾷ εἶναι ἀρχῇ, ἥ ἐστιν ἄλλου τελευτή· μηδὲ εἴ τι ἐστὶν ἕτερον ἐκείνου ἐξωτέρω. οἷον, τοῦ μὲν τῆς βακτηρίας ἐσχάτου, ἐν τῇ χειρὶ ἡ ἀρχή, τούτου δὲ ἐν τῷ καρπῷ. εἰ δὲ μηδὲ ἐν τῇ χειρί, ὅτι ἀνωτέρω ἔτι, ἡ ἀρχή, οὐδὲ ἐνταῦθα. ἔτι γὰρ τοῦ ὠλεκράνου μένοντος, κινεῖται ἅπαν τὸ κάτω συνεχές.

Scrib. ἔχοντι vel ἔχει

A Quamobrem contingit quidem, vt vno, contingit autem vt duobus naturam illo vti. Cùm enim alicunde mouetur, aliud quidem extremorum punctorum quiescere, aliud verò moueri necesse est: quandoquidem quòd ad quiescens quippiam inniti debeat motor, dictum est priùs. Mouetur igitur, & non mouet extrema brachij pars: eius autem qui in cubito est flexus, hoc quidem mouetur quòd sanè in toto est commoto: necesse autem est, etiam non motum esse quiddam: quod sanè dicimus potestate quidem vnum esse punctum, actu autem duo fieri. B Quamobrem si animal esset brachium, hîc sanè primum animæ esset mouens. Et quoniam contingit ad manum quippiam ita se habere inanime, vt si quis baculum in manu moueret; manifestum sanè est, in neutro extremorum consistere animam, neque in extrema rei motæ parte, neque in altero principio. Lignum enim & principium & finem habet ad manum. Itaque hanc ob causam si non inest baculo mouens animæ principium, neque in ipsa manu. Eodem enim se habet modo extremum manus ad ipsius carpi C iuncturam: vt hæc ipsa pars ad cubitum. Nihil enim differunt quæ sunt annexa, ab iis quæ non sunt. Fit namque vt separabilis pars ipse baculus. Necesse igitur est, in nullo esse principio quod alterius est finis: neque si quippiam est aliud illo extimum magis. vt extremi baculi in manu principium, huius autem in carpi iunctura. Quòd si neque in manu, quoniam superiùs adhuc principium, neque certè hîc. Adhuc enim quiescente cubito, totum mouetur quod infrà est con- D tinuum.

## ΚΕΦΑΛ. θ'.

Ὅτι ἀνάγκη ἐν τῷ μέσῳ τοῦ σώματος εἶναι τὴν ἀρχὴν τῆς ψυχῆς τῆς κινούσης.

ΕΠΕΙ δ' ὁμοίως ἔχει ἀπὸ τῶν ἀριστερῶν, καὶ ἀπὸ τῶν δεξιῶν, καὶ ἅμα τὰ ἐναντία κινεῖται, ὥστε μὴ εἶναι τῷ ἠρεμεῖν τὸ δεξιόν, κινεῖσθαι τὸ ἀριστερόν, * μηδ' αὐτῷ τούτῳ ἐκεῖνο· ἀεὶ δ' ἐν τῷ ἀνωτέρω ἀμφοτέρων ἡ ἀρχή. ἀνάγκη ἐν τῷ μέσῳ εἶναι τὴν ἀρχὴν τῆς ψυχῆς τῆς κινούσης. ἀμφοτέρων γὰρ τῶν ἄκρων, τὸ μέσον ἔσχατον. ὁμοίως δ' ἔχει πρὸς τὰς κινήσεις τοῦτο, καὶ τὰς ἀπὸ τοῦ ἄνω καὶ κάτω· οἷον τὰς ἀπὸ τῆς κεφαλῆς τοῖς ἀπὸ τῆς ῥάχεως τοῖς ἔχουσι ῥάχιν. καὶ εὐλόγως δὲ τοῦτο συμβέβηκε. καὶ γὰρ τὸ αἰσθητικὸν ἐνταῦθα εἶναί φαμεν· ὥστ' ἀλλοιουμένου διὰ τὴν αἴσθησιν τοῦ τόπου τοῦ περὶ τὴν ἀρχήν,

Fort. μηδ' αὐτῷ· τοῦτο ἐκεῖνο.

## CAPVT IX.

*Quòd oporteat in medio corporis esse principium animæ mouentis.*

QVoniam autem eodem se habet modo cùm à dextris, tum à sinistris, & simul per contraria mouetur: vt non eo quòd quiescat dextrum, moueatur sinistrum: neque rursus quia hoc, illud: E semper autem in superiori vtrorumque est principium: necesse profectò est, in medio mouentis esse principium animæ. Vtrorumque enim extremorum medium est vltimum. Simili autem se habet modo hoc ad supernas infernásque motiones, vt eas quæ sunt à capite, iis quæ sunt à spina, in illis quæ habent spinam. Et profectò rectà hoc accidit ratione. sensitiuum etenim hîc esse asserimus: idcirco alterato per sensum loco, qui circa principium est, & im-

& immutato, continuæ simul cum extensæ tum contractæ transmutantur partes, vt necessariò hanc ob causam in animalibus eueniat motus. Mediam autem corporis partem potestate quidem vnam, actu verò plura effici necesse est. Simul etenim mouentur à principio membra, & altero quiescente mouetur alterum: verbi gratia: in a b c ipsum b mouetur, mouet autem a. sed profectò aliquid quiescere oportet, si aliud quidem debet moueri, aliud verò mouere. Vnum igitur potestate existens a, actu sanè duo erit. Quamobrem non esse punctum, sed magnitudinem quandam necesse est. Verumenimverò contingit c simul cum b moueri: quamobrem vtraque principia quæ sunt in a mota, mouere necesse est. Quiddam igitur oportet esse præter hæc aliud, quod moueat non motum. Innitentur ergo extrema & principia ad se inuicem in a motorum: vt si qui dorsa contra se appellentes, moueant crura. Verùm quod vtrumque mouet, necesse est esse: & hoc sanè est anima, aliud quidem ab eiusmodi magnitudine existens, in ea autem collocata.

A καὶ μεταβάλλοντος, τὰ ἐχόμενα * συμμεταβάλλει, ἐκτεινόμενά τε καὶ συναγόμενα τὰ μόρια· ὥστ' ἐξ ἀνάγκης γίνεσθαι διὰ ταῦτα τὴν κίνησιν τοῖς ζῴοις. τὸ δὲ μέσον τοῦ σώματος μέρος, δυνάμει μὲν ἕν, ἐνεργείᾳ δὲ ἀνάγκη γίνεσθαι πλείω. καὶ γὰρ ἅμα κινεῖται τὰ κῶλα ἀπὸ τῆς ἀρχῆς, καὶ θατέρου ἠρεμοῦντος θάτερον κινεῖται. λέγω δὲ, οἷον, ἐπὶ τῆς α β γ, τὸ β κινεῖται, κινεῖ δὲ τὸ α. ἀλλὰ μὴν δεῖ γέ τι ἠρεμεῖν, εἰ μέλλει τὸ μὲν κινεῖσθαι, τὸ δὲ κινεῖν. ἓν ἄρα δυνάμει ὂν τὸ
B α, ἐνεργείᾳ δύο ἔσται. ὥστ' ἀνάγκη μὴ στιγμὴν, ἀλλὰ μέγεθός τι εἶναι. ἀλλὰ μὴν ἐνδέχεται τὸ γ τῷ β ἅμα κινεῖσθαι. ὥστ' ἀνάγκη ἀμφοτέρας τὰς ἀρχὰς τὰς ἐν τῷ α κινουμένας κινεῖν. δεῖ τι ἄρα εἶναι παρὰ ταύτας ἕτερον τὸ κινοῦν καὶ μὴ κινούμενον. ἀπερείδοιντο μὲν γὰρ αὐτὰ ἄκρα καὶ * αἱ ἀρχαί, αἱ πρὸς ἀλλήλας ἐν τῷ α κινουμένων, ὥσπερ ἂν εἴ τινες τὰ νῶτα ἀντερείδοντες, κινοῖεν τὰ σκέλη. ἀλλὰ τὸ κινοῦν ἄμφω, ἀναγκαῖον εἶναι. τοῦτο δ' ἐστὶν ἡ ψυχή, ἕτερον μὲν
C οὖσα τοῦ μεγέθους τοῦ τοιούτου, ἐν τούτῳ δ' οὖσα.

γρ. συμβάλλει.

Interp. αἱ ἀρχαὶ πρὸς ἀλλήλας.

## CAPVT X.

*Quòd appetitus sit medium illud quod mouet motum. De connato spiritu, & vi eius sedéque in medio corporis, & reliquis eius facultatibus.*

PEr eam igitur rationem quæ causam dicit motus; appetitio medium est, quod mouet motum. In animatis autem corporibus aliquid eiusmodi corpus esse oportet. Quod igitur mouetur quidem, non est autem natum mouere, alienas pati potest vires: ipsum autem mouens potentiam habere quandam & robur, necesse est. Omnia autem videntur animalia cùm spiritum habere connatum, tum ab illo robur capere. Quæ autem connati spiritus sit conseruatio, in aliis dictum est locis. Is autem ad animale principium simili se habere videtur modo, vt in flexionibus punctum quod mouet & mouetur ad ipsum immobile. Quoniam autem principium aliis quidem est in corde, aliis verò in parte proportione respondente: eapropter connatus spiritus eò loci apparet. Vtrùm igitur semper idem sit spiritus, an semper diuersus efficiatur, alius est sermo. Idem de aliis etiam est partibus. Videtur autem percommodè habere vt mouere possit, & robur præstare. Motionum namque opera sunt, impulsus & tractus:

## ΚΕΦΑΛ. ι'.

Ὅτι ἡ ὄρεξίς ἐστι κατὰ τὸν λόγον μέσον, ὃ κινεῖ κινούμενον. περὶ τοῦ συμφύτου πνεύματος, τῆς τε ἰσχύος, καὶ τόπου αὐτοῦ ἐν τῷ μέσῳ τοῦ σώματος· καὶ τῆς φύσεως αὐτοῦ τῆς εἰς τὸ ἕλκειν καὶ ὠθεῖν ἐπιτηδειοτάτης.

ΚΑΤΑ μὲν οὖν τὸν λόγον τὸν λέγοντα τὴν αἰτίαν τῆς κινήσεως, ἐστὶν ἡ ὄρεξις τὸ μέσον, ὃ κινεῖ κινούμενον. ἐν δὲ τοῖς ἐμψύχοις
D σώμασι δεῖ τι εἶναι σῶμα τοιοῦτον. τὸ μὲν οὖν κινούμενον μὲν, μὴ πεφυκὸς δὲ κινεῖν, δύναται πάσχειν, κατ' ἀλλοτρίαν δύναμιν· τὸ δὲ κινοῦν, ἀναγκαῖον ἔχειν τινὰ δύναμιν καὶ ἰσχύν. πάντα δὲ φαίνεται τὰ ζῷα, καὶ ἔχοντα πνεῦμα σύμφυτον, καὶ ἰσχύοντα τούτῳ. τίς μὲν οὖν ἡ σωτηρία τοῦ συμφύτου πνεύματος, εἴρηται ἐν ἄλλοις. τοῦτο δὲ πρὸς τὴν ἀρχὴν τὴν ψυχικὴν ἔοικεν ὁμοίως ἔχειν, ὥσπερ τὸ ἐν
E ταῖς καμπαῖς σημεῖον, τὸ κινοῦν καὶ κινούμενον, πρὸς τὸ ἀκίνητον. ἐπεὶ δ' ἡ ἀρχὴ τοῖς μὲν ἐν τῇ καρδίᾳ, τοῖς δὲ ἐν τῷ ἀνάλογον, διὰ τοῦτο καὶ τὸ πνεῦμα τὸ σύμφυτον ἐνταῦθα φαίνεται ὄν. πότερον μὲν οὖν τὸ πνεῦμα ταὐτόν ἐστιν ἀεὶ, ἢ γίνεται ἀεὶ ἕτερον, ἔστω λόγος ἄλλος. ὁ αὐτὸς γάρ ἐστι καὶ περὶ τῶν ἄλλων μορίων. φαίνεται δ' εὐφυῶς ἔχον πρὸς τὸ κινητικὸν εἶναι, καὶ παρέχειν ἰσχύν. τὰ δ' ἔργα τῆς κινήσεως, ὦσις καὶ ἕλξις·

ὥστε δεῖ τὸ ὄργανον αὐξάνεσθαί τε δύνασθαι, καὶ συστέλλεσθαι· τοιαύτη δ' ἐστὶν ἡ τοῦ πνεύματος φύσις. καὶ γὰρ ἀβιάστως συστελλομένη, καὶ ἑλκτικὴ καὶ ὠστικὴ διὰ τὴν αὐτὴν αἰτίαν, καὶ ἔχει καὶ βάρος πρὸς τὰ πυρώδη, καὶ κουφότητα πρὸς τὰ ἐναντία. δεῖ δὲ τὸ μέλλον κινεῖν, μὴ ἀλλοιώσει τοιοῦτον εἶναι, κρατεῖ γὰρ κατὰ τὴν ὑπεροχὴν τὰ φυσικὰ σώματα ἀλλήλων. τὸ μὲν κοῦφον, κάτω ὑπὸ τοῦ βαρυτέρου ἀπονικώμενον· τὸ δὲ βαρὺ, ἄνω ὑπὸ τοῦ κουφοτέρου. ᾧ μὲν οὖν κινεῖ κινουμένῳ μορίῳ ἡ ψυχὴ, εἴρηται, καὶ δι' ἣν αἰτίαν. ὑποληπτέον δὲ συνεστάναι τὸ ζῶον, ὥσπερ πόλιν εὐνομουμένην. ἔν τε γὰρ τῇ πόλει, ὅταν ἅπαξ στῇ ἡ τάξις, οὐδὲν δεῖ κεχωρισμένου μονάρχου, ὃν δεῖ παρεῖναι παρ' ἕκαστον τῶν γινομένων. ἀλλ' αὐτὸς ἕκαστος ποιεῖ τὰ αὑτοῦ, ὡς τέτακται· καὶ γίνεται τόδε μετὰ τόδε διὰ τὸ ἔθος· ἔν τε τοῖς ζώοις τὸ αὐτὸ τοῦτο διὰ τὴν φύσιν γίνεται. καὶ τῷ πεφυκέναι ἕκαστον οὕτω συστάντων, ποιεῖν τὸ ἑαυτοῦ ἔργον· ὥστε μηδὲν δεῖν ἐν ἑκάστῳ εἶναι τὴν ψυχήν· ἀλλ' ἔν τινι ἀρχῇ τοῦ σώματος οὔσης, τἆλλα ζῆν μὲν τῷ προσπεφυκέναι· ποιεῖν δὲ τὸ ἔργον τὸ αὐτῶν διὰ τὴν φύσιν.

A idcirco inſtrumentum tum augeri, tum contrahi poſſe oportet. Talis autem ſpiritus eſt natura. Et eandem ob cauſam ſine vi contracta, cùm attractiua, tum impulſoria eſt: grauitatémque etiam ad ignea, & leuitatem ad contraria habet. Quod autem mouere debet, non per alterationem huiuſmodi eſſe oportet. Vincunt enim ſe inuicem per exuperantiam naturalia corpora: leue quidem deorſum à grauiore vi deductum: graue verò ſurſum, à leuiore. Qua igitur moueat B parte, commota tamen, anima, & quam ob cauſam, dictum eſt. Et exiſtimandum profectò eſt conſtare animal, vt ciuitatem bene legibus inſtitutam. In hac etenim poſtquam ſemel ordo conſtiterit, nihil opus eſt ſecreto duce, quem ſingulis quæ geruntur, intereſſe oporteat: ſed quiſque, vt mandatum eſt, quod ad ſe pertinet, agit, & aliud poſt aliud conſuetudine efficitur. In animalibus autem hoc ipſum natura efficitur: & quoniam vnumquodque ſic conſtitutorum ad ſua exequenda munia natum eſt, vt nihil opus C ſit vnicuique animam intereſſe, ſed cùm illa in certo corporis conſiſtat principio, alia quidem viuere, quia ſunt annexa, proprium autem opus efficere per naturam.

## ΚΕΦΑΛ. ιαʹ.

### Περὶ τῶν ἀκουσίων, καὶ τῶν οὐχ ἑκουσίων.

ΠΩΣ μὲν οὖν κινεῖται τὰς ἑκουσίους κινήσεις τὰ ζῶα, καὶ διὰ τίνας αἰτίας, εἴρηται. τινὰς δὲ καὶ ἀκουσίους κινεῖται ἔνια τῶν μερῶν, τὰς δὲ πλείστας οὐχ ἑκουσίους. λέγω δὲ ἀκουσίους μὲν, οἷον τὴν τῆς καρδίας τε καὶ τὴν τοῦ αἰδοίου. φανέντος γὰρ πολλάκις τινὸς, οὐ μέντοι κελεύσαντος τοῦ νοῦ, κινοῦνται. οὐχ ἑκουσίους δὲ, οἷον ὕπνον καὶ ἐγρήγορσιν, καὶ ἀναπνοὴν, καὶ ὅσαι ἄλλαι τοιαῦταί εἰσιν. οὐθενὸς γὰρ τούτων κυρία ἁπλῶς ἐστὶν, οὔθ' ἡ φαντασία, οὔθ' ἡ ὄρεξις· ἀλλ' ἐπειδὴ ἀνάγκη ἀλλοιοῦσθαι τὰ ζῶα φυσικὴν ἀλλοίωσιν· ἀλλοιουμένων δὲ τῶν μορίων, τὰ μὲν αὐξάνεσθαι, τὰ δὲ φθίνειν· ὥστε μὴ ἤδη κινεῖσθαι καὶ μεταβάλλειν τὰς πεφυκυίας ἔχεσθαι μεταβολὰς ἀλλήλων· αἰτίαι δὲ τῶν κινήσεων [θερμότητές τε καὶ ψύξεις, αἵ τε θύραθεν καὶ αἱ ἐντὸς ὑπάρχουσαι] φυσικαί· καὶ αἱ παρὰ τὸν λόγον δὴ γινόμεναι κινήσεις τῶν ῥηθέντων μορίων, ἀλλοιώσεως συμπεσούσης γίνονται. ἡ γὰρ νόησις, καὶ ἡ φαντασία, ὥσπερ εἴρηται πρότερον, τὰ ποιητικὰ τῶν παθημάτων προσφέρουσι· τὰ γὰρ εἴδη τῶν ποιητικῶν προσφέρουσι. μάλιστα δὲ τῶν μορίων ταῦτα ποιεῖ ἐπιδήλως

## CAPVT XI.

### *De motione coacta & non voluntaria.*

QVonam igitur modo voluntariis motibus mouentur animalia, & quas ob cauſas, dictum eſt: ſed inuolun- D tariis etiam quibuſdam motionibus quędam mouentur partes, plurimis autem non voluntariis. Inuoluntarios autem dico motus, vt cordis, & pudendorum. Apparente namque ſæpenumero re aliqua, quamquam mens nihil decernat, mouentur. Non voluntarios verò, vt ſomnum, & vigiliam, & reſpirationem, & quicumque alij eius generis ſunt motus. Horum enim nullius ſimpliciter phantaſia aut appetitio domina eſt. Verùm quoniam alterari animalia E naturali alteratione neceſſe eſt, partibus autem alteratis alias quidem augeſcere, alias verò minui, vt iam moueantur & commutentur per mutationes ſe mutuò ſequi natas, cauſæ autem motionum naturales: necnon ipſi præter rationem dictarum partium facti motus interuenientes ſanè fiunt alteratione. Cogitatio namque ſanè & imaginatio (vt dictum eſt priùs) agentes adducunt affectiones: nam agentium ſpecies repræſentant. Id autem præcipuè illæ declarant partes,

quoniam vtraque earum tanquam seiunctum est animal. Cuius sanè rei causa est, quia vitalem continent humiditatem: cor quidem, manifestum eam ob causam quòd principia habet sensuum: genitale autem membrum, quoniam huiusmodi est signum. ex illo etenim tanquam animal quoddam genitalis seminis virtus prodit. Motiones autem principio quidem à partibus, partibus verò à principio ratione accidunt, & ad se inuicem hoc contẽdunt modo. Oportet enim intelligere a, principium. motiones igitur pro cuiusque descriptorum elementorum ratione ad principium veniunt: & à principio moto & commutato: quandoquidem potestate est multa, principium quidem b ad b. quod autem est c, ad c: quod verò est vtrorumque, ad vtrumque. à b autem, ad c. quod verò ab ipso b ad a pergit, vt ad principium: ab ipso autem a ad c, vt à principio. Præterea aliàs quidem eadem cogitantibus fit motus, qui præter rationem est in membris: aliàs verò non. In causa autem est, quòd aliquando quidem patibilis subest materia, aliquando verò non tanta, aut non talis.

De partibus quidem singulorum animalium, & de anima, de sensu quinetiam, & memoria, & somno, nec non de communi motu, causas diximus: reliquum verò de generatione pertractare.

A διὰ τὸ ὥσπερ ζῶον κεχωρισμένον ἑκάτερον εἶναι τῶν μορίων. τούτων δ᾽ αἴτιον, ὅτι ἔχει ὑγρότητα ζωτικήν. ἡ μὲν οὖν καρδία, φανερὸν δι᾽ ἣν αἰτίαν· τὰς ἀρχὰς ἔχει τῶν αἰσθήσεων. τὸ δὲ μόριον τὸ γεννητικὸν ὅτι τοιοῦτόν ἐστι, σημεῖον· καὶ γὰρ ἐξέρχεται ἐξ αὐτοῦ, ὥσπερ ζῶόν τι, ἡ τοῦ σπέρματος δύναμις. αἱ δὲ κινήσεις τῇ τε ἀρχῇ ἀπὸ τῶν μορίων, καὶ τοῖς μορίοις ἀπὸ τῆς ἀρχῆς εὐλόγως συμβαίνουσι, καὶ πρὸς ἀλλήλας οὕτως ἀφικνοῦνται. δεῖ γὰρ νοῆσαι τὸ α, ἀρχήν. αἱ οὖν κινήσεις, καθ᾽ ἕκαστον στοιχεῖον τῶν
B ἐπιγεγραμμένων, ἐπὶ τὴν ἀρχὴν ἀφικνοῦνται, καὶ ἀπὸ τῆς ἀρχῆς κινουμένης, καὶ μεταβαλλούσης, ἐπειδὴ πολλὰ δυνάμει ἐστίν, ἡ μὲν τοῦ β ἀρχή, ἐπὶ τὸ β· ἡ δὲ τοῦ γ, ἐπὶ τὸ γ· ἡ δ᾽ ἀμφοῖν, ἐπ᾽ ἄμφω. ἀπὸ δὲ τοῦ β, * ἐπὶ τὸ γ· τὸ δ᾽ ἀπὸ γρ. ἐπὶ τὸ β
τοῦ β ἐπὶ α ἐλθόν, ὡς ἐπ᾽ ἀρχήν. ἀπὸ δὲ τοῦ α ἐπὶ τὸ γ, ὡς ἀπ᾽ ἀρχῆς. Ἔστι δὲ ὅτε μὲν ταὐτὰ νοησάντων, γίνεται ἡ κίνησις, ἡ παρὰ τὸν λόγον ἐν τοῖς μορίοις· ὁτὲ δὲ οὔ. αἴτιον δὲ, τὸ ὁτὲ μὲν ὑπάρχειν τὴν παθητικὴν ὕλην, ὁτὲ δὲ μὴ τοσαύτην ἢ τοιαύτην.

Περὶ μὲν οὖν τῶν μορίων ἑκάστου τῶν ζώων, καὶ περὶ ψυχῆς· ἔτι δὲ καὶ περὶ αἰσθήσεως καὶ μνήμης, καὶ ὕπνου, καὶ τῆς κοινῆς κινήσεως, εἰρήκαμεν τὰς αἰτίας· λοιπὸν δὲ περὶ γενέσεως εἰπεῖν.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ, ΠΕΡΙ ΜΑΚΡΟΒΙΟΤΗΤΟΣ ΚΑΙ ΒΡΑΧΥΒΙΟΤΗΤΟΣ.

# ARISTOTELIS STAGIRITÆ, DE LONGITVDINE ET BREVITATE VITÆ, LIBER.

Francisco Vatablo Interprete.

## CAPVT I.

*Animalium, alia breuis, alia longæ vitæ: eiusdémque causæ.*

CVr autem animantium aliæ plus temporis, aliæ minùs viuant, atque omnino cur vita longa sit aut breuis, causas consideremus addecet. Sed enim ita ordiendum est, vt cõtemplationis initiũ sumatur, dubitãdo de his,

C

## ΚΕΦΑΛ. α.

Ἀνάμνησις τῶν προειρημένων, καὶ τῶν μελλόντων λέγεσθαι πρόθεσις.

ΠΕρὶ δὲ τοῦ τὰ μὲν εἶναι μακρόβια τῶν ζώων, τὰ δὲ βραχύβια, καὶ περὶ τῆς ὅλως μήκους καὶ βραχύτητος ζωῆς σκεπτέον τὰς αἰτίας. ἀρχὴ δὲ τῆς σκέψεως ἀναγκαία πρῶτον, ἐκ τοῦ διαπορ-

οὐ γάρ ἐστι δῆλον πότερον ἕτερον, ἢ τὸ αὐτὸ αἴτιον πᾶσι τοῖς ζῴοις καὶ φυτοῖς· τοῦ, τὰ μὲν εἶναι μακρόβια, τὰ δὲ, βραχύβια. καὶ γὰρ τῶν φυτῶν, τὰ μὲν ἐπέτειον, τὰ δὲ πολυχρόνιον ἔχει τὴν ζωήν. ἔτι δὲ πότερον ταὐτὰ μακρόβια καὶ τῇ φύσει ὑγιεινὰ τῶν φύσει συνεστώτων, ἢ κεχώρισται· καὶ τὸ βραχύβιον, καὶ τὸ νοσῶδες· ἢ κατ' ἐνίας μὲν νόσους ἐπαλλάττει τὰ νοσώδη τὴν φύσιν σώματα τοῖς βραχυβίοις· κατ' ἐνίας δ' οὐδὲν κωλύει νοσώδεις εἶναι μακροβίους ὄντας. περὶ μὲν οὖν ὕπνου καὶ ἐγρηγόρσεως, εἴρηται πρότερον· περὶ δὲ ζωῆς καὶ θανάτου λεκτέον ὕστερον· ὁμοίως δὲ καὶ περὶ νόσου καὶ ὑγιείας, ὅσον ἐπιβάλλει τῇ φυσικῇ φιλοσοφίᾳ. νῦν δὲ περὶ τῆς αἰτίας, τοῦ τὰ μὲν εἶναι μακρόβια, τὰ δὲ βραχύβια, καθάπερ εἴρηται πρότερον, θεωρητέον. ἔστι δ' ἔχοντα τὴν διαφορὰν ταύτην, ὅλα τε πρὸς ὅλα γένη, καὶ τὰ ὑφ' ἓν εἶδος, ἕτερα πρὸς ἕτερα. λέγω δὴ κατὰ γένος μὲν διαφέρειν, οἷον ἄνθρωπον πρὸς ἵππον. μακροβιώτερον γὰρ τὸ τῶν ἀνθρώπων γένος, ἢ τὸ τῶν ἵππων. κατ' εἶδος δὲ ἄνθρωπον πρὸς ἄνθρωπον· εἰσὶ γὰρ ἄνθρωποι, οἱ μὲν μακρόβιοι, οἱ δὲ βραχύβιοι· ἕτεροι καθ' ἑτέρους τόπους διεστῶτες· τὰ μὲν γὰρ ἐν τοῖς θερμοῖς τῶν ἐθνῶν, μακροβιώτερα· τὰ δ' ἐν τοῖς ψυχροῖς, βραχυβιώτερα. καὶ τῶν τὸν αὐτὸν δὲ τόπον οἰκούντων, διαφέρουσιν ὁμοίως τινὲς ταύτην πρὸς ἀλλήλους τὴν διαφοράν.

## ΚΕΦΑΛ. β'.

Τί τὸ εὔφθαρτον καὶ μή, ἐν τοῖς φύσει συνεστῶσι.

ΔΕΙ δὲ λαβεῖν, τί τὸ εὔφθαρτον ἐν τοῖς φύσει συνεστῶσι, καὶ τί τὸ οὐκ εὔφθαρτον· πῦρ γὰρ, καὶ ὕδωρ, καὶ τὰ τούτοις συγγενῆ, οὐκ ἔχοντα τὴν αὐτὴν δύναμιν, τυγχάνει γενέσεως καὶ φθορᾶς αἴτια ἀλλήλοις. ὥστε καὶ τῶν ἄλλων ἕκαστον ἐκ τούτων ὄντα καὶ συνεστῶτα, μετέχειν τῆς τούτων φύσεως εὔλογον, ὅσα μὴ συνθέσει ἐκ πολλῶν ἐστιν, οἷον οἰκία. περὶ μὲν οὖν τῶν ἄλλων ἕτερος λόγος. εἰσὶ γὰρ ἴδιαι φθοραὶ πολλοῖς τῶν ὄντων, οἷον ἐπιστήμῃ, καὶ ὑγιείᾳ καὶ νόσῳ· ταῦτα γὰρ φθείρεται, καὶ μὴ φθειρομένων τῶν δεκτικῶν, ἀλλὰ σωζομένων. οἷον ἀγνοίας μὲν φθορὰ, ἀνάμνησις, καὶ μάθησις· ἐπιστήμης δὲ, λήθη καὶ ἀπάτη. κατὰ συμβεβηκὸς δ' ἀκολουθοῦσι τοῖς φυσικοῖς αἱ τῶν ἄλλων φθοραί. φθειρομένων γὰρ τῶν ζῴων, φθείρεται καὶ ἡ ἐπιστήμη, καὶ ἡ ὑγίεια ἡ ἐν τοῖς ζῴοις. διὸ περὶ ψυχῆς συλλογίσαιτ' ἄν τις ἐκ τούτων·

A (non enim certum est) vtrùm diuersa sit an eadem cunctis animantibus ac plantis causa: cur illarum quædam diu, quędam parum viuant, & harum aliæ annua, aliæ diuturniore vita fruantur. Præterea, vtrùm natura constantium eadem sint longæua & natura incolumia, an distincta sint. Et vtrùm eadem sint vitæ breuis, & valetudinaria. an per aliquos quidem morbos corpora, quæ natura valetudinaria sunt, ad eorum naturam accedant quæ breuiore vita frui solent: per aliquos verò valetudinaria esse, quæ longæua

B sunt, nihil obstet. De somno igitur & vigilia, dictum est priùs. de vita verò & morte, similiter & de morbo & sanitate, quod quidem ad naturalem attineat Philosophiam, dicendum posteriùs. Nunc autem de causa cur altera longam, altera breuem vitam agant, quemadmodum iam diximus, tractandum est. Sanè hac differentia genera tota à totis generibus: & eorum quæ sub vna specie collocantur, alia ab aliis differunt. Generatim differre dico, vt hominem ab equo: nam

C genus hominum viuacius est, quàm equorum. Speciatim, vt hominem ab homine. eorum enim hominum qui locorum intercapedine seiuncti sunt, alij vita sunt longiore, alij breuiore. qui enim in calidis degunt regionibus, diutiùs: qui in algidis, minùs viuere assolent. Quinimmo ex hisce qui eundem tenent locum, nonnulli pari modo ea ipsa inter se discrepant differentia.

## CAPVT II.

*Quid sit è rebus naturalibus magis corruptioni obnoxium, quid minus.*

D

PORrò sumere cõuenit, quid sit inter ea quæ natura constant, quod facilè corrumpatur, & quid quod ægrè. Nam ignis & aqua, & quæ his cognata sunt, cùm eandem facultatẽ minimè habeãt, sibi mutuò causæ sunt generationis atque corruptionis. Proinde singula quoq; alia, quæ ex hisce sunt atque cõstant, & non ex multis per congeriem, vti domus, eorũ naturam participẽt, ratio congrua existit. Sed de cæteris alia

E ratio est. Plurimis enim ex hisce quæ sunt, peculiares cõpetũt corruptiones: ceu sciẽtiæ, sanitati, morbo, & eiusmodi: quippe quæ corrumpi soleãt, etiam non corruptis susceptiuis, sed seruatis. quãdoquidẽ ignorãtiam, reminiscentia atque disciplina corrũpere solent: sciẽtiam, obliuio & deceptio. Per accidens tamen cęterorũ corruptiones rerũ naturaliũ interitus sequũtur. nam cùm animalia ipsa intereũt, eorũdẽ & sanitas & scientia corrũpitur. Quocirca & de anima per hęc ratiocinari quispiã profectò potest.

Nam si anima haudquaquam natura subsistat, sed vt scientia in anima, sic & anima in corpore sit; erit nimirum ipsius quædam etiam alia corruptio, præter eam qua, cùm corpus interit, corrumpi solet. Quare cùm nulla talis esse videatur, alio sanè pacto cum corpore iniit societatem.

## CAPVT III.

*Nihil quod sit natura sua corruptioni obnoxiū, posse vllo in loco incorruptum manere.*

SEd fortasse quæret quispiam, idque optima ratione, vtrùm quod corruptibile est, id alicubi à corruptione vindicari queat, ceu ignis supero in loco, vbi contrarium nullum est. Quæ enim contrariis insunt, per accidens corrumpi solent, eo quòd illa intereant: tolluntur enim contraria à sese. At contrariorum quæ in substantiis sunt, nullum per accidēs corrumpi potest, propterea quòd substantia de nullo subiecto prędicatur. Quare fieri nō poterit vt id corrūpatur quod cōtrario caret, aut in eo loco est, vbi nullum est contrariū. Quid enim erit quod vim habeat corrumpendi, siquidē à contrariis vnis corrumpi quicquā contingat, contrarium autem non insit, aut omnino, aut hic? An hoc partim verum est, partim non verum? Fieri enim nequit, vt ei quod materiam habeat, non insit modo quodam contrarium. nam vt omnino insit caliditas, aut rectitudo, aut albor, fieri potest: vt alicubi sit, non potest. alioquin affectus essent separati. Si igitur quādo actiuum & patibile simul sunt, semper alterum agit, alterum patitur: fieri non potest quin fiat mutatio. Præterea & excrementa fieri necesse est. at excrementū contrarij rationem subit. semper enim mutatio ē contrario fit. excrementum autem reliquiæ prioris est. Quòd si quicquid actu contrarium est, abigeretur, essétne vel hic incorruptibile, an non, sed ab eo quod continet, corrumperetur? Si ergo id quod continet, sit satis committēdæ corruptioni, numero eorum quæ dicta sunt, adscribatur: sin minùs, inesse quippiam quod sit actu contrarium, & excrementitiam materiam gigni, supposuisse operæpretium est. Quamobrem minor flāma à maiore per accidēs deuritur: quòd pabulum, fumum scilicet, quod illa non nisi longo tempore absumere potest, hæc ocyus insumat. Quapropter omnia semper in motu sunt, & ortum aut obitum subeunt: cui rei id quod cōtinendi munere fungitur, vel conferre vel obesse solet. Et ob id, quæ locum demutant, ea tempore quidem longiore breuioréve quàm sua ferat natura, edurant: sed sempiterna nusquam sunt, quibuscumque cōtraria adsint.



A Εἰ γὰρ ἐστὶ μὴ φύσει, ἀλλ' ὥσπερ ἡ ἐπιστήμη ἐν ψυχῇ, οὕτω καὶ ψυχὴ ἐν σώματι, εἴη ἂν τις αὐτῆς καὶ ἄλλη φθορὰ παρὰ τὴν φθορὰν ἣν φθείρεται, φθειρομένου τοῦ σώματος· ὥστ' ἐπεὶ οὐ φαίνεται οὖσα τοιαύτη, ἄλλως ἂν ἔχοι πρὸς τὴν τοῦ σώματος κοινωνίαν.

## ΚΕΦΑΛ. γ'.

B Ὅτι φθαρτὸν οὐδὲν οὐδαμοῦ ἄφθαρτον ἔσται.

ΙΣΩΣ δ' ἄν τις ἀπορήσειεν εὐλόγως, * ἆρ' ἐστὶν οὗ ἄφθαρτον ἔσται τὸ φθαρτόν, οἷον τὸ πῦρ ἄνω, οὗ μὴ ἔστι τὸ ἐναντίον. φθείρεται γὰρ τὰ μὲν ὑπάρχοντα τοῖς ἐναντίοις κατὰ συμβεβηκός, τῷ ἐκεῖνα φθείρεσθαι· ἀναιρεῖται γὰρ τὰ ἐναντία ὑπ' ἀλλήλων· κατὰ συμβεβηκὸς δ' οὐδὲν τῶν ἐν ταῖς οὐσίαις ἐναντίων φθείρεται, διὰ τὸ μηδενὸς ὑποκειμένου κατηγορεῖσθαι τὴν οὐσίαν· ὥστε ᾧ C μὴ ἔστιν ἐναντίον, καὶ ὅπου μὴ ἔστιν, ἀδύνατον ἂν εἴη φθαρῆναι. τί γὰρ ἔσται τὸ φθεροῦν, εἴπερ ὑπ' ἐναντίων μὲν φθείρεσθαι συμβαίνει μόνον, * τοῦτο δὲ μὴ ὑπάρχει, ἢ ὅλως, ἢ ἐνταῦθα; ἢ τοῦτο, τῇ μὲν ἀληθές ἐστι, τῇ δ' οὔ; ἀδύνατον γὰρ τῷ ὕλην ἔχοντι, μὴ ὑπάρχειν πως τὸ ἐναντίον· πάντῃ μὲν γὰρ ἐνεῖναι τὸ θερμόν, ἢ τὸ εὐθὺ ἐνδέχεται. πᾶν δὲ ἀδύνατον εἶναι, ἢ θερμόν, ἢ εὐθύ, ἢ λευκόν. τὰ γὰρ πάθη ἔσται κεχωρισμένα. D εἰ οὖν ὅταν ἅμα εἴη τὸ ποιητικὸν καὶ τὸ παθητικόν, ἀεὶ τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει, ἀδύνατον μὴ μεταβάλλειν. ἔτι καὶ εἰ ἀνάγκη περίττωμα ποιεῖν, τὸ δὲ περίττωμα ἐναντίον· ἐξ ἐναντίου γὰρ ἀεὶ ἡ μεταβολή· τὸ δὲ περίττωμα, ὑπόλειμμα τοῦ προτέρου. εἰ δὲ πᾶν ἐξελαύνοιτο ἐνεργείᾳ ἐναντίον, κἂν ἐνταῦθα, ἄφθαρτον ἂν εἴη· ἢ οὔ; ἀλλ' ὑπὸ τοῦ περιέχοντος φθείρεται. εἰ μὲν οὖν ἱκανόν, ἐκ τῶν εἰρημένων ἔστω· εἰ δὲ E μή, ὑποθέσθαι δεῖ, ὅτι ἔνεστί τι ἐνεργείᾳ ἐναντίον, καὶ περίττωμα γίνεται. διὸ ἡ ἐλάττων φλὸξ κατακαίεται ὑπὸ τῆς πολλῆς, κατὰ συμβεβηκός· ὅτι ἡ τροφὴ ἣν ἐκείνη ἐν πολλῷ χρόνῳ, ἀναλίσκει τὸν καπνόν, ταύτην ἡ πολλὴ φλὸξ ταχύ· διὸ πάντα ἀεὶ ἐν κινήσει ἐστί, καὶ γίνεται, ἢ φθείρεται. τὸ δὲ περιέχον, ἢ συμπράττει, ἢ ἀντιπράττει. καὶ διὰ τοῦτο μεταβάλλοντα, πολυχρονιώτερα μὲν γίνεται καὶ ὀλιγοχρονιώτερα τῆς φύσεως· ἀΐδια δὲ ὅσοις ἐναντία ἐστίν, οὐ-

γρ. ἆρ' ἐστὶν οὐ ἀφ. inedosè.

γρ. πουτῇ

εὐθὺς γὰρ ἡ ὕλη τὸ ἐναντίον ἔχει. ὥστ' εἰ μὲν τὸ ποὺ, κατὰ τόπον μεταβάλλει· εἰ δὲ τὸ ποσὸν, κατ' αὔξησιν καὶ φθίσιν· εἰ δὲ πάθος, ἀλλοιοῦται.

## ΚΕΦΑΛ. δ'.

Ἡ μακροβιότης ἐν ποίοις τῶν ζώων γένεσι μᾶλλον ἢ ἧττον εὑρίσκεται.

B ΕΣΤΑΙ δ' οὔτε τὰ μέγιστα ἀφθαρτότερα· ἵππος γὰρ ἀνθρώπου βραχυβιώτερον. οὔτε τὰ μικρά· ἐπέτεια γὰρ τὰ πολλὰ τῶν ἐντόμων. οὔτε τὰ φυτὰ ὅλως τῶν ζώων· ἐπέτεια γὰρ ἔνια τῶν φυτῶν. οὔτε τὰ ἔναιμα· μέλιττα γὰρ πολυχρονιώτερον ἐνίων ἐναίμων· οὔτε τὰ ἄναιμα· τὰ γὰρ μαλάκια, ἐπέτεια μὲν, ἄναιμα δέ. οὔτε τὰ ἐν τῇ γῇ· καὶ γὰρ φυτὰ ἐπέτειά ἐστι, καὶ ζῶα πεζά. οὔτε τὰ ἐν τῇ θαλάττῃ· καὶ γὰρ ἐκεῖ βραχύβια, καὶ τὰ ὀστρακηρὰ, καὶ τὰ μαλάκια. C ὅλως δὲ τὰ μακροβιώτατα ἐν τοῖς φυτοῖς ἐστιν, οἷον ὁ φοῖνιξ· εἶτ' ἐν τοῖς ἐναίμοις ζώοις μᾶλλον ἢ ἐν τοῖς ἀναίμοις· καὶ πεζοῖς, ἢ ἐν τοῖς ἐνύδροις. ὥστε καὶ συνδυασθέντων ἐν τοῖς ἐναίμοις καὶ πεζοῖς τὰ μακροβιώτατα τῶν ζώων ἐστὶν, οἷον ἄνθρωπος καὶ ἐλέφας. καὶ δὴ καὶ τὰ μείζω, ὡς ἐπὶ τὸ πολὺ εἰπεῖν, τῶν ἐλαττόνων μακροβιώτερα· καὶ γὰρ τοῖς ἄλλοις συμβέβηκε τοῖς μακροβιωτάτοις τὸ μέγεθος, ὥσπερ καὶ τοῖς εἰρημένοις. D

## ΚΕΦΑΛ. ε'.

Μακροβιότητος αἰτία.

ΤΗΝ δ' αἰτίαν περὶ τούτων ἁπάντων, ἐντεῦθεν τις θεωρήσειε· δεῖ γὰρ λαβεῖν ὅτι τὸ ζῶόν ἐστι φύσει ὑγρὸν καὶ θερμὸν, καὶ τὸ ζῆν τοιοῦτον· τὸ δὲ γῆρας, ψυχρὸν καὶ ξηρὸν· καὶ τὸ τεθνηκός· φαίνεται γὰρ οὕτως. ὕλη δὲ τῶν σωμάτων τοῖς οὖσι, ταῦτα, τὸ θερμὸν καὶ τὸ ψυχρὸν, καὶ τὸ E ξηρὸν καὶ τὸ ὑγρόν. ἀνάγκη τοίνυν * γηράσκοντας ξηραίνεσθαι. διὸ καὶ μὴ εὐξήραντον δεῖ εἶναι τὸ ὑγρόν. καὶ διὰ τοῦτο τὰ λιπαρὰ ἄσηπτα. αἴτιον δ' ὅτι ἀέρος· ὁ δ' ἀὴρ πρὸς τἆλλα· πῦρ δ' οὐ γὰρ σαπρὸν· οὐδ' αὖ ὀλίγον δεῖ εἶναι τὸ ὑγρόν· εὐξήραντον γὰρ καὶ ὀλίγον. διὸ καὶ τὰ μεγάλα καὶ ζῶα, καὶ φυτὰ, ὡς ὅλως εἰπεῖν, μακροβιώτερα, καθάπερ ἐλέχθη

* γρ. γηράσκοντα

A nam materies protinus contrarium habet. Quare si sit de prædicamento loci, lationem subeunt: si verò quantitatis, accrescunt aut decrescunt: si denique qualitatis, alterantur.

## CAPUT IV.

*De humidi vitalis conditionibus.*

B At neque maxima, corruptioni minùs obnoxia sunt: equus enim, minus temporis quàm homo viuit. neque pusilla: nam insectorum plurima non vltra annum ætatem extendunt. Neque plantæ omnino minùs quàm animalia corruptioni patent: cùm nonnullæ vita sint annua. Neque sanguinaria: siquidem apis, longiore tempore, quàm sanguinea quędam, viuit. neque exanguia: quòd mollia, annua sint, quamuis sanguine careant. Neque terrestria: sunt enim tum è plantis tum è pedestri animantium genere, quæ in anni spatium dumtaxat ætatem protrahunt. C Neque marina: etenim in mari, tam testacea quàm mollia parum viuunt. Sed in totum quæ diutissimè viuant, ea in stirpium genere cõtinentur, vt palma & cupressus. mox in sanguineo genere animalium potiùs quàm exangui: & in pedestri, quam in aquatili. Quare & illis duobus iunctis, in iis quæ sanguinea pariter & pedestria sunt, ea haberi solent quæ inter animalia longissimè viuunt, vt homo atque elephas. Quin & vastiora, quod maiori ex parte dixerim, diutiùs quàm minora viuunt. nam & cæteris quæ viuaciora sunt, perinde atque iis quæ D modò retuli, magnitudo adiuncta est.

## CAPUT V.

*Causa vitæ longioris.*

Horum omnium causam hinc intueri licet. Intelligẽdum enim est, animal natura humidum calidúmque esse: cuiusmodi vita quoq; ipsa habetur. at senectus, & quod emortuũ est, obarescit algétque: sic enim habere cernitur. Hæc etiã, calidum, E inquã, frigidum, humidum & siccum, materiam corporibus, quæ in rerũ natura sunt, suppeditant. necesse est itaque, ea, dum senescunt, inarescere. Quocirca & humidum esse tale cõuenit, vt non facilè siccescat. Et ob id pinguia putrescere non solẽt. Cuius rei causa est, quòd ea sunt aëris. aër autẽ ad reliqua ignis est, qui haudquaquam putris reddi potest. Rursum non paucũ esse humidum oportet. quod enim paucum est, facilè exarescit. Ideoq; magnę & animãtes & plãtæ, vt in vniuersum dixerim, plus temporis viuere cõsueuerunt, quemadmodũ dictum est

ãntea. nam ratione optima euenit, vt quæ maiora sunt, plus habeant humidi. At non solùm propter hoc vita sunt longiore: duæ enim sunt causæ, quãtitas & qualitas, id est, modus & genus. Proinde non solùm oportet humidũ esse multum, sed etiã calidum, vt ne facilè aut congelascat, aut resiccetur. Hac de causa diutiùs homo, quàm maiuscula quædã animalia, viuit. nam quæ humidi copia vincuntur, si maiore proportione per qualitatem superent, quàm per quantitatem vincãtur, ea sanè viuaciora sunt. Calidum autem ipsum, in nõnullis pingue habetur, quæ res simul efficit, vt neque facilè inarescat, neque facilè refrigeretur. in nonnullis alio succo præditum est. Præterea oportet, vt quod haud facilè corruptibile sit, nequaquã excrementis abũdet. quod enim tale est, aut vi morbi, aut suapte natura interimitur: nam excrementorum virtus atque facultas vicem subit contrarij: atque interdum naturam ipsam, interdũ partem corrumpit. Quapropter quæ salacia sunt, & semine redundant, ocyssimè senescunt. nam semen, excrementum est: & insuper cùm prodit, assiccat. Ob idque mulus equo & asino, ex quibus procreatus est, plus temporis viuit: & fœminæ maribus, si mares salaces sint. Quocirca & in passerum genere, mares breuiorem quàm fœminæ vitam obtinent. Adde etiam, quòd quicũque mares laboriosi sunt, ampliùs (laboris nomine) senescere solent. labor enim exsiccat: senectus autem sicca est. Naturâ tamen mares, vt in vniuersum dixerim, viuaciores fœminis sunt. Cuius rei causa est, quòd mas fœmina calidior sit. Eadem etiam animalia tepidis locis plus temporis, quàm frigidis, illa ipsa causa, qua quæ maiore sunt corpore, viuunt, & eorum maximè quæ natura frigida sunt, magnitudo conspectior redditur atque insignior. Quapropter & calidis locis serpentes, lacerti, & corticata, necnõ in mari Rubro testacea omnia, mira quadam magnitudine augentur. calida nãque humiditas, vitæ ac incremẽti causa existit. Locis autẽ prægelidis, humiditas animantibus indita, aquosior est. quamobrem facilè congelascere potest. Quare in septẽtrionali plaga, ex animalibus quæ parum sanguinis obtinent, aut eodem vacant, quędam nullo pacto, siue pedestria in terra, siue aquatilia in mari, gignũtur: quædam gignuntur quidem, sed minora sunt, vitæque breuioris. nam gelida cœli constitutio ea increscere non sinit. Cùm autem alimẽtum non recipiunt tam animalia quàm plantæ, interire solent. idem enim seipsum emacerat. nam quemadmodum flãma magna paruam exurit corrumpitque, propterea quòd alimentum eius absumat: sic calor naturalis, cui primaria concoquendi vis inest,

A ρότερον· εὔλογον γὰρ τὰ μείζω πλεῖον ἔχειν ὑγρόν· οὐ μόνον δὲ διὰ τοῦτο * μακροβιώτερα· δύο γὰρ τὰ αἴτια, τό, τε ποσὸν, καὶ τὸ ποιόν. ὥστε δεῖ μὴ μόνον πλῆθος εἶναι ὑγροῦ, ἀλλὰ τοῦτο καὶ θερμοῦ, ἵνα μήτε εὔπηκτον, μήτε εὐξήραντον ᾖ. καὶ διὰ τοῦτο ἄνθρωπος, μακρόβιον μᾶλλον ἐνίων μειζόνων· μακροβιώτερα γὰρ ἀπολειπόμενα τῷ πλήθει τοῦ ὑγροῦ, ἐὰν πλείονι λόγῳ ὑπερέχῃ κατὰ τὸ ποιὸν, ἢ λείπεται κατὰ τὸ ποσόν. ἔστι δὲ ἐνίοις μὲν τὸ θερμὸν, B τὸ λιπαρὸν· ὃ ἅμα ποιεῖ, τό, τε μὴ εὐξήραντον, καὶ τὸ μὴ εὔψυκτον· ἐνίοις δὲ ἄλλον ἔχει χυμόν. ἔτι δεῖ τὸ μέλλον εἶναι μὴ εὔφθαρτον, μηδὲ περιττωματικὸν εἶναι. ἀναιρεῖ γὰρ τὸ τοιοῦτον, ἢ νόσῳ, ἢ φύσει· ἐναντία γὰρ ἡ τοῦ περιττώματος δύναμις, καὶ φθαρτική· ἡ μὲν τῆς φύσεως, ἡ δὲ μορίου. διὸ τὰ ὀχευτικὰ καὶ πολύσπερμα γηράσκει ταχύ· τὸ γὰρ σπέρμα, περίττωμα, καὶ ἔτι ξηραίνει ἀπιόν· καὶ διὰ τοῦτο ἡμίονος μακροβιώτερος ἵππου καὶ ὄνου, ἐξ C ὧν ἐγένετο· καὶ τὰ θήλεια τῶν ἀρρένων, ἐὰν ὀχευτικὰ ᾖ τὰ ἄρρενα. διὸ καὶ οἱ στρουθοὶ οἱ ἄρρενες, βραχυβιώτεροι τῶν θηλειῶν. ἔτι δὲ καὶ ὅσα πονητικὰ τῶν ἀρρένων, καὶ διὰ τὸν πόνον γηράσκει μᾶλλον· ξηραίνει γὰρ ὁ πόνος· τὸ δὲ γῆρας ξηρόν ἐστι. φύσει δὲ καὶ, ὡς ἐπὶ τὸ πολὺ εἰπεῖν, τὰ ἄρρενα τῶν θηλειῶν μακροβιώτερα. αἴτιον δὲ, ὅτι θερμότερον ζῷον τὸ ἄρρεν ἐστὶ, τοῦ θήλεος. τὰ δ' αὐτὰ ἐν τοῖς ἀλεεινοῖς μακροβιώτερά ἐστιν, ἢ ἐν τοῖς ψυχροῖς τόποις, διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἥνπερ D τὰ μείζω. καὶ μάλιστ' ἐπίδηλον τὸ μέγεθος τῶν τὴν φύσιν ψυχρῶν ζῴων· διὸ οἵ τε ὄφεις, καὶ αἱ σαῦραι, καὶ τὰ φολιδωτὰ, μεγάλα ἐν τοῖς θερμοῖς τόποις· καὶ ἐν τῇ θαλάττῃ τῇ Ἐρυθρᾷ, τὰ ὀστρακόδερμα· τῆς τε γὰρ αὐξήσεως, ἡ ὑγρὰ θερμότης, αἰτία, καὶ τῆς ζωῆς· ἐν δὲ τοῖς ψυχροῖς τόποις, ὑδατωδέστερον τὸ ὑγρὸν τὸ ἐν τοῖς ζῴοις ἐστί. διὸ εὔπηκτον. ὥστε τὰ μὲν οὐ γίνεται ὅλως τῶν ζῴων E τῶν ὀλιγαίμων ἢ ἀναίμων, ἐν τοῖς πρὸς τὴν ἄρκτον τόποις, οὔτε τὰ πεζὰ ἐν τῇ γῇ, οὔτε τὰ ἔνυδρα ἐν τῇ θαλάττῃ. τὰ δὲ γίνεται μὲν, ἐλάττω δὲ καὶ βραχυβιώτερα· ἀφαιρεῖται γὰρ ὁ πάγος τὴν αὔξησιν. τροφὴν δὲ μὴ λαμβάνοντα καὶ τὰ φυτὰ καὶ τὰ ζῷα φθείρεται· συντήκει γὰρ αὐτὸ αὑτό. ὥσπερ γὰρ ἡ πολλὴ φλὸξ κατακάει καὶ φθείρει τὴν ὀλίγην, διὰ τὸ τὴν τροφὴν ἀναλίσκειν· οὕτω τὸ φυσικὸν θερμὸν, τὸ πρῶτον πεπτικὸν, ἀναλίσκει

* γρ. μακροβιώτατα.

τὴν ὕλην ἐν ᾗ ἐστιν. τὰ δὲ ἔνυδρα τῶν πεζῶν ἧττον μακρόβια, οὐχ ὅτι ὑγρὰ ἁπλῶς, ἀλλ' ὅτι ὑδατώδη. τὸ δὲ τοιοῦτον ὑγρὸν, εὔφθαρτον, ὅτι ψυχρὸν καὶ εὔπηκτον· καὶ τὸ ἄναιμον διὰ τὸ αὐτὸ, ἐὰν μὴ μεγέθει ἀπαμύνηται· οὔτε γὰρ λίπος, οὔτε γλυκὺ ἔχει· ἐν γὰρ τῷ ζώῳ τὸ λιπαρὸν γλυκύ. διὸ αἱ μέλιτται, μακροβιώτεραι ἑτέρων μειζόνων ζώων.

A materiam in qua ſit, cõſumit. Porro aquatilia pedeſtribus minùs viuacia, non quòd humida ſimpliciter, ſed quòd aquoſa ſint. Tale autē humidum, corruptioni opportunum eſt: quia frigidum ſit, & promptè congelabile. Item exanguia ſanguineis, eandem ob cauſam, niſi magnitudine vindicentur. nam neque pinguitudinem præ ſe ferunt, neque dulcorem, cum in animali pingue ipſum dulce ſit. Quamobrem apes diutiùs quàm quædam alia maiuſcula animalia, viuunt.

## ΚΕΦΑΛ. ϛ'.

B Περὶ τῆς ἐν τοῖς φυτοῖς τῆς μακροβιότητος διαφορᾶς.

Ἐν δὲ τοῖς φυτοῖς ἐστι τὰ μακροβιώτατα, καὶ μᾶλλον ἢ ἐν τοῖς ζώοις· πρῶτον μὲν, ὅτι ἧττον ὑδατώδη· ὥστ' οὐκ εὔπηκτα. εἶτα ἔχει λιπαρότητα καὶ γλισχρότητα· καὶ ξηρὰ καὶ γεώδη ὄντα, ὅμως οὐκ εὐξήραντον ἔχει τὸ ὑγρόν. περὶ δὲ τοῦ πολυχρόνιον εἶναι τὴν τῶν δένδρων φύσιν, δεῖ λαβεῖν τὴν αἰτίαν· ἔχει γὰρ ἰδίαν πρὸς τὰ ζῷα, πλὴν πρὸς τὰ ἔντομα· νέα γὰρ ἀεὶ τὰ φυτὰ γίνεται. διὸ πολυχρόνια· ἀεὶ γὰρ ἕτεροι οἱ πτόρθοι· οἱ δὲ γηράσκουσι. καὶ αἱ ῥίζαι ὁμοίως, ἀλλ' οὐχ ἅμα, ἀλλ' ὁτὲ μὲν μόνον τὸ στέλεχος καὶ οἱ κλάδοι ἀπώλοντο, ἕτεροι δὲ παρεφύοντο. ὅταν δὲ οὕτως ὦσιν, αἱ ῥίζαι ἄλλαι ἐκ τοῦ ὑπάρχοντος γίνονται· καὶ οὕτως ἀεὶ διατελεῖ, τὸ μὲν φθειρόμενον, τὸ δὲ γινόμενον· διὸ καὶ μακρόβια. ἔοικε δὲ τὰ φυτὰ τοῖς ἐντόμοις, ὥσπερ εἴρηται πρότερον· διαιρούμενα γὰρ ζῇ, καὶ δύο καὶ πολλὰ γίνεται ἐξ ἑνός. τὰ δ' ἔντομα, μέχρι μὲν τοῦ ζῆν ἦλθεν· οὐ δύναται δὲ πολὺν χρόνον· οὐ γὰρ ἔχει ὄργανα· οὐδὲ δύναται ποιεῖν αὐτὰ ἡ ἀρχὴ ἡ ἐν ἑκάστῳ. ἡ δὲ ἐν τοῖς φυτοῖς, δύναται· πανταχῇ γὰρ ἔχει καὶ ῥίζαν καὶ καυλὸν δυνάμει. διὸ ἀπὸ ταύτης ἀεὶ προέρχεται, τὸ μὲν νέον, τὸ δὲ γηράσκον, μικρόν τι διαφέροντα τοῦ εἶναι μακρόβια, οὕτως ὥσπερ τὰ * ἀποφυτευόμενα. καὶ γὰρ ἐν τῇ ἀποφυτείᾳ τρόπον τινὰ φαίη ἄν τις ταὐτὸ συμβαίνειν· μόριον γάρ τι τὸ ἀποφυτευθέν. ἐν μὲν οὖν τῇ ἀποφυτείᾳ, χωριζομένων, συμβαίνει τοῦτο· ἐκεῖ δὲ διὰ τοῦ συνεχοῦς. αἴτιον δὲ, ὅτι ἐνυπάρχει πάντῃ ἡ ἀρχὴ δυνάμει ἐνοῦσα. συμβαίνει δὲ ταὐτὸ ἐπί τε τῶν ζώων καὶ τῶν φυτῶν. ἔν τε γὰρ τοῖς ζώοις τὰ ἄρρενα μακροβιώτερα ὡς ἐπὶ τὸ πολύ· τούτων δὲ τὰ ἄνω μείζω ἢ τὰ κάτω· νανωδέστερον γὰρ τοῦ θήλεος τὸ ἄρρεν.

* γρ. φυτευόμενα.

## CAPVT VI.

*Cur quædam plantæ longioris quàm animalia durationis.*

QVæ autem diutiſſimè viuunt, in plantis reperiri aſſolent: idque potiùs quàm in animantibus. Primò, quòd plantæ minùs in ſe diluti humoris contineant. vnde fit vt non facilè congelentur. Deinde, quòd pinguitudinem lentorémque habeant: & quamquam aridæ ſunt atque terrenæ, tamen non facilè ſiccabilem poſſideant humiditatem. Sed cur natura arbo- C rum longo temporis ſpatio eduret, cauſam ſumpſiſſe conuenit. eam enim peculiarem ſibi præ omnibus animãtibus, præterquam inſectis, obtinet. Semper enim ſtirpes iuueneſcunt: ideóque longæuæ ſunt. nam aſſiduè germina alia enaſcuntur, alia ſeneſcunt, & radices pari modo & non ſimul, ſed interdum ſolùm caudex & rami pereunt: alij verò adnaſcuntur. Cum autem hæc affectio radicibus euenit, aliæ ex eo quod ſupereſt, oriri ſolent. Atque ita perpetuò aliud corrumpitur, aliud gignitur. quocirca & illæ longo tempore viuũt. D Aſſimilantur autem plantæ inſectis, vt iam diximus. nam plãtæ, diuiſæ ſeiunctęque viuunt: ac duæ ex vna, atque etiã plures procreantur. Inſecta verò, viuunt quidem, ſed longo tẽpore viuere nequeunt. nam nec inſtrumenta poſſident, nec principium illud quod ſingulis ineſt, ea efficere poteſt. At illud quod plantis innatum eſt, poteſt: quippe cum plantæ vbique tam radicem quàm caulẽ potentia habeant. Quapropter ab eo ſemper aliud recẽs, aliud ſeneſcẽs prouenit: quæ pauxillũ inter ſe vitæ longitudine differunt, perinde vt ea quæ auulſu ſeruntur. E etenim in ea ſatione, quæ auulſo ſurculo effici ſolet, idẽ quodãmodo euenire dicat. id enim quod auulſione ſeritur, particula quędam eſt. Verum hoc in ſatione, quæ auulſu fit, ſeiunctis contingit: ibi cõtinuis. Cauſa, quòd principium ipſum potẽtia vbique ineſt. Porrò idẽ in plantis & animalibus euenit. Nam in animaliũ genere, mares diutius magna ex parte viuunt: quorum partes ſupernæ maiores ſunt, quàm infernæ. nã mas, fœmina magis, formam gerit pumilionis.

superna verò calor, & inferna frigus occupat. & in plantarum genere, quæ caput prægraue ac ponderosum gestant, longius vitæ cursum protrahunt. cuiusmodi sunt non annuæ, sed quæ figura sunt arboris. siquidem radix, plantarum pars supera atque caput est. quæ autem sunt annuæ, parte infera & augentur, & suos fructus effundunt.

Sed de hoc seorsum per se in libris de Plantis tractabitur: nunc autem de cæteris, nempe de animalibus, causa quamobrem alia longum vitæ spatium obtineant, alia breue, explicata est. Restat, vt de iuuentute & senectute & vita & morte contemplemur. his enim præfinitis, determinatisque, animalium doctrina finem erit assecuta.

A ἐν δὲ τῷ ἄνω τὸ θερμὸν, καὶ τὸ ψυχρὸν ἐν τῷ κάτω· καὶ τῶν φυτῶν τὰ κεφαλοβαρῆ μακροβιώτερα. τοιαῦτα δὲ μὴ τὰ ἐπέτεια, ἀλλὰ δενδρώδη. τὸ γὰρ ἄνω τοῦ φυτοῦ καὶ κεφαλὴ, ἡ ῥίζα ἐστί. τὰ δὲ ἐπέτεια ἐπὶ τὰ κάτω λαμβάνει καὶ τοὺς καρποὺς, καὶ τὴν αὔξησιν.

Ἀλλὰ περὶ μὲν τούτου, καὶ καθ' αὑτὰ, ἐν τοῖς περὶ φυτῶν διορισθήσεται. νῦν δὲ περὶ τῶν ἄλλων ζώων εἴρηται τὸ αἴτιον· περί τε μεγέθους ζωῆς, καὶ βραχυβιότητος· λοιπὸν δ' ἡμῖν θεωρῆσαι περὶ νεότητος καὶ γήρως, καὶ ζωῆς καὶ θανάτου· τούτων γὰρ διορισθέντων, τέλος ἂν ἡ περὶ τῶν ζώων ἔχοι μέθοδος.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ,

## ΠΕΡΙ ΝΕΟΤΗΤΟΣ ΚΑΙ ΓΗΡΩΣ, ΠΕΡΙ ζωῆς καὶ θανάτου.

# ARISTOTELIS

## STAGIRITÆ, DE IVVENTVTE ET SENECTVTE, VITA ET MORTE, LIBER.

Francisco Vatablo Interprete.

### CAPVT I.

*Animalium viuentium vnam eandémque esse qua viuunt, partem. De anterioribus & posterioribus animalium partibus: item de supera & infera tam animalium quàm plantarum parte.*

DE Iuuentute & Senectute, vita & morte, nunc agendum, fortè autem simul & de spiratione causas dicere necessarium est, quòd ob eam animantibus nonnullis viuere & non viuere contingat. Cùm iam alibi de Anima tractatum sit, quanquam constat fieri non posse vt animæ substantia corpus sit, eam tamen esse in aliqua corporis particula, & ea quidē quæ inter reliquas vi quadam polleat, apertum est. Ceteris igitur animæ aut partibus aut potentiis (vtrouis modo appellādę sint) in præsentia dimissis,

### B ΚΕΦΑΛ. α΄.

Τί ἡ ψυχὴ καὶ ποῦ. καὶ περὶ τοῦ ἔμπροσθεν καὶ ὄπισθεν ἐν τοῖς ζώοις· καὶ τοῦ ἄνω καὶ κάτω ἐν τοῖς ζώοις ἅμα καὶ φυτοῖς.

ΠΕΡΙ δὲ νεότητος καὶ γήρως, καὶ περὶ ζωῆς καὶ θανάτου, λεκτέον νῦν· ἅμα δὲ καὶ περὶ ἀναπνοῆς ἀναγκαῖον ἴσως τὰς αἰτίας εἰπεῖν· C ἐνίοις γὰρ τῶν ζώων διὰ τοῦτο συμβαίνει τὸ ζῆν καὶ μὴ ζῆν. ἐπεὶ δὲ περὶ ψυχῆς ἐν ἑτέροις διώρισται, καὶ δῆλον ὅτι οὐχ οἷόν τε εἶναι σῶμα τὴν οὐσίαν αὐτῆς, ἀλλ' ὅμως ὅτι γε ἔν τινι τοῦ σώματος ὑπάρχει μορίῳ, φανερόν· καὶ ἐν τούτῳ τινὶ τῶν ἐχόντων δύναμιν ἐν τοῖς μορίοις. τὰ μὲν οὖν ἄλλα τῆς ψυχῆς ἢ μόρια, ἢ δυνάμεις, ὁποτέρως ποτὲ δεῖ καλεῖν, ἀφείσθω τὰ νῦν.

γρ. καὶ ζῶντα ὅσα γὰρ ζῷα λέγεται * καὶ ζῆν, ἐν μὲν τοῖς ἀμφοτέρων τούτων τετυχηκόσι· λέγω δὲ ἀμφοτέρων, τοῦ τε ζῷον εἶναι, καὶ τοῦ ζῆν· ἀνάγκη ταὐτὸν εἶναι, καὶ ἓν μόριον καθ' ὅ, τε ζῇ, καὶ καθ' ὃ προσαγορεύομεν αὐτὸ ζῷον· τὸ μὲν γὰρ ζῷον ᾗ ζῷον, ἀδύνατον μὴ ζῆν· ᾗ δὲ ζῇ, ταύτῃ ζῷον ὑπάρχειν οὐκ ἀναγκαῖον· τὰ γὰρ φυτὰ ζῇ μὲν, οὐκ ἔχει δὲ αἴσθησιν. τῷ δὲ αἰσθάνεσθαι τὸ ζῷον πρὸς τὸ μὴ ζῷον διορίζομεν. ἀριθμῷ μὲν οὖν ἀναγκαῖον ἓν εἶναι καὶ τὸ αὐτὸ τοῦτο μόριον, τῷ δ' εἶναι πλείω καὶ ἕτερα· οὐ γὰρ ταὐτὸ τὸ ζῷόν τε εἶναι καὶ τὸ ζῆν. ἐπεὶ οὖν τὸ τῶν ἰδίων αἰσθητήριον, ἓν τι κοινόν ἐστιν αἰσθητήριον, εἰς ὃ τὰς κατ' ἐνέργειαν αἰσθήσεις ἀναγκαῖον ἀπαντᾶν· τοῦτο δ' ἂν εἴη μέσον τοῦ πρόσθεν καλουμένου καὶ ὄπισθεν· (ἔμπροσθεν μὲν γὰρ λέγεται, ἐφ' ὅ ἐστιν ἡμῖν αἴσθησις· ὄπισθεν δὲ, τὸ ἀντικείμενον·) ἔτι δὲ διῃρημένου τοῦ σώματος, τῶν μὲν ζώντων πάντων τῷ τε ἄνω καὶ τῷ κάτω· πάντα γὰρ ἔχει τὸ ἄνω καὶ τὸ κάτω· ὥστε καὶ τὰ φυτά· δῆλον ὅτι τὴν θρεπτικὴν ἀρχὴν ἔχοι ἂν ἐν μέσῳ τούτων· καθ' ὃ μὲν γὰρ εἰσέρχεται μόριον ἡ τροφὴ, ἄνω καλοῦμεν, πρὸς αὐτὸ βλέποντες, ἀλλ' οὐ πρὸς τὸ περιέχον ὅλον· κάτω δὲ, καθ' ὃ τὸ περίττωμα ἀφίησι τὸ πρῶτον. ἔχει δ' ἐναντίως τοῖς φυτοῖς τοῦτο καὶ τοῖς ζῴοις· τῷ μὲν γὰρ ἀνθρώπῳ διὰ τὴν ὀρθότητα, μάλιστα ὑπάρχει τοῦτο τῶν ζῴων, τὸ ἔχειν τὸ ἄνω μόριον πρὸς τὸ τοῦ παντὸς ἄνω· τοῖς δ' ἄλλοις μεταξύ· τοῖς δὲ φυτοῖς ἀκινήτοις οὖσι καὶ λαμβάνουσιν ἐκ τῆς γῆς τὴν τροφὴν, ἀναγκαῖον ἀεὶ κάτω τοῦτ' ἔχειν τὸ μόριον. ἀνάλογον γάρ εἰσιν αἱ ῥίζαι τοῖς φυτοῖς, καὶ τὸ καλούμενον στόμα τοῖς ζῴοις, δι' οὗ τὴν τροφὴν, τὰ μὲν ἐκ τῆς γῆς λαμβάνει, τὰ δὲ δι' αὑτῶν.

A eorum omnium quæ animalia dicuntur, & viuere in hisce quidem quibus vtraque ista, esse animal inquam ac viuere, competunt, vnam & eandem esse partem necesse est, qua viuunt simul, & animalis nuncupationem sortiuntur. Fieri enim nequit, vt animal qua animal est, non viuat. at qua viuit, hac esse animal, haudquaquam necesse est. nam plantæ viuunt quidem, sed sensu carent. ipsa autem sentiendi facultate animal à non animali interstinguitur. Hanc ergo partem B numero vnam eandémque, ratione plureis ac diuersas esse necesse est. neque enim idem est esse animal, quod viuere. Cùm igitur propria sensoria vnum aliquod commune sensorium nacta sint, quo necesse sit sensus actu concurrere, hoc autem inter partem priorem & posteriorem medium sit, ( nam pars prior dicitur, in qua sensum gerimus; posterior, quæ è regione illius sita est, ) & insuper præcisis viuentibus, omnium pars altera supera sit, altera infera; omnia enim partem superam inferámque possident; quare & ipsæ plantæ C vegetandi principium inter eas habebunt; nam partem qua cibus ingreditur, superam nuncupamus, ipsam spectantes, & non totum illud quod nos ambit: qua vacans materia primùm egeritur, inferam. Cæterùm illa in plantis è contrario quàm in animalibus sita est. Nam ex animantibus, homini maximè pars superior ad vniuersi supremum erecta est: cæteris, media inter supremum ac imum haberi solet. At plantis cùm stabiles sint, cibúmque ex imo capiant, ea pars necessariò infrà posita semper est. quam enim habet rationem in anima- D libus vocatum os, eam subeunt in plantis radices. nam illa ore cibum è terra capiunt, hæ radicibus.

## ΚΕΦΑΛ. β'.

Ὅτι ἡ ἀρχὴ τῆς θρεπτικῆς ψυχῆς ἐν τῷ μέσῳ ἄνω καὶ κάτω· καὶ ὅτι τὸ τοιοῦτον μόριον ἐνεργείᾳ μὲν ἕν, δυνάμει δὲ πλείω.

ΤΡΙΩΝ δὲ μερῶν ὄντων, εἰς ἃ διαιρεῖται τὰ τέλεια πάντα τῶν ζῴων, ἑνὸς μὲν, ᾗ δέχεται τὴν τροφήν· ἑνὸς δὲ, ᾗ τὸ περίττωμα προΐεται· τρίτου δὲ, τοῦ μέσου τούτων· τοῦτο ἐν μὲν τοῖς μεγίστοις τῶν ζῴων, καλεῖται στῆθος· ἐν δὲ τοῖς ἄλλοις, τὸ ἀνάλογον. διήρθρωται δὲ μᾶλλον ἑτέροις ἑτέρων. ὅσα δ' αὐτῶν ἐστι πορευτικὰ, προσκεῖται καὶ μόρια τὰ πρὸς ταύτην τὴν ὑπηρεσίαν, οἷς τὸ πᾶν οἴσουσι κύτος, σκέλη τε καὶ πόδες, καὶ τὰ ταύτην ἔχοντα τὴν αὐτὴν δύναμιν. ἀλλ' ἥ γε τῆς θρεπτικῆς ἀρχὴ ψυχῆς,

## CAPVT II.

*Probat, principium nutritiuæ facultatis in medio superæ & inferæ partis esse.*

CVmque tribus existentibus partibus, in quas perfecta animalia diuidun- E tur, vna qua cibum capiunt: altera, qua excrementum emittunt, tertia, quæ inter illas media est: hæc in maximis animalibus pectus nuncupetur, in cæteris proportionale, in quibusdam autem magis quàm in aliis articulata discretáque fit: & ex eorum numero quæcumque incessilia sunt, ea parteis ad id muneris accommodatas, crura scilicet pedésque, & ea quibus consimilis facultas adest, adiunctas possideant, quibus totus alueus feratur: vegetalis profectò animæ principium